Xer. Vocifera nunc mecum alterno ſtrepitu.
Chor. Heu, heu, heu, heu!
Xer. Luctuoſus domum te recipe.
Chor. Heu, heu! terra Perſica infelix aditu.
Xer. Heu jam per urbem.
Chor. Heu ſcilicet, etiam etiam.
Xer. Ingemiſcite molliter incedentes.

ἢ Ϟ λίυκήρη ἢ πεπολιαμβλῶν ἢ γηραιὰν τείχα ϐ σὺ γθυείν, δὶ ἰμὶὼ χάεεν. Ἀθως. πίρθε, οἱ ἢ γεάφοντες ὑπερθε, ἀμαθῶς ϐ μίτρυ. ¶ 1062. Ἀπελγδ' ἄπελγδα] ὁ χορὸς, ιἰκότ@ ϐ Ξέρξε, τίκε Ϟ εἰὼ γθυεάδα, φησὶν, ἀπελξ, ἢ δὶ ὅλε, μάλα γόεδια, ἢ λίαν λυπηρῶς ἢ γοερῶς τίκω τὰς τείχας ϐ γθυείν μῦ. ἴσι ἢ τὸ ἄπελγδ' ἀπελγδα, ϑπφώνημα ἢ ϑπφθεγμα ϑλὶ Ϟ μϐ σφοδρότητ@ τὼ ἐντων τὰς τείχας. ἀυτὶ ϐ, ϑπτιταμβῶς ἢ ἀπελξ ἢ οἶων ἰμμανῶς τίκε τὰς τείχας. ¶ 1063. Γοίδνα] ἤτοι ἔδνα ἢ δῶρα τοῖς γόοις ἢ τοῖς θρίνοις διδόμθα. σύνηθες γὰρ τοῖς θρίνοις τίκειν τὰς ἑαυτῶν τείχας. ¶ 1067. Καὶ ψαλ' ἔθηραν] ἀπὸ ϐ ψάλλειν ϐ σημαίν@ τὸ κόπτειν, λίγεται ἢ χειροψάλας διότι ϑ, ὁ τίκων τὸ μόεθα τῶν γυναικῶν. ¶ 1077. Γεῶσ' ἀβροβάται] ἤτοι πίρσαι τρυφηλοὶ καὶ ἀβρῶς βαίνοντις, ὑβρίζωθ.

Χο. Ἰὼ ἰώ, περσὶς αἶα δύσβατος.
Ξε. Η ἢ ἢ ἢ, τρισκάλμοισιν
(Η ἢ ἢ ἢ) βάρισιν ὀλόμεσα.
Χο. Πέμψω σε δυσθρόοις γόοις.

Chor. Heu, heu! terra Perſica infelix aditu.
Xer. Heu, heu, heu! triremibus
(Heu, heu, heu!) navibus perditi.
Chor. Luctibus infeliciter ſonantibus te comitabimur.

¶ 1078. Δύσβατ@·] δύσβατόν φησι τὴν περσίδα, οὐχ ὡς σκληρὰν καὶ δύσκολον εἰς ἔμβασιν, ἀλλ' ὡς ὑπὸ κακῶ καὶ δυσχερῆ βαπομένην τῷ Ξέρξει· ἢ ὅτι ἐν δυσχερεῖ τόπῳ ἐστὶν ἡ περσίς. 1080. Η ἢ ἢ ἢ] φεῦ ὦ ὀλόμενοι ἢ ὑπὸ τῶν βαρέων ναυσὶ ἢ τρισκάλμοις. ¶ 1081. Πέμψω] συμπέμψω.

ΤΕΛΟΣ.

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑ

ΑΓΑΜΕΜΝΩΝ.

ÆSCHYLI TRAGOEDIA

AGAMEMNON.

Ὑπόθεσις τῆς τῶ Αἰσχύλε τραγῳδίας ἣ ἐπιγράφεται

ΑΓΑΜΕΜΝΩΝ.

ΑΓΑΜΕΜΝΩΝ εἰς Ἰλιον ἀπιών, τῇ Κλυταιμνήσρᾳ, εἰ πορθήσει τὸ Ἰλιον, ὑπέσχετο τῆς αὐτῆς ἡμέρας σημαίνειν διὰ πυρσῶ. ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήσρα ἵνα τηροίη τὸν πυρσόν. ϗ ὁ μὲν ἰδὼν ἀπήγγειλεν· αὐτὴ δὲ τὸν τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται, περὶ τῶ πυρσῶ ἐρῶσα· ἐξ ὧν ϗ ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσι. μετ' ὀ πολὺ δὲ ϗ Ταλθύβιος παραγίνεται, ϗ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Αγαμέμνων δ' ἐπὶ ἁπήνης ἔρχεται· εἵπετο δ' αὐτῷ ἑτέρα ἁπήνη, ἔνθα ἦν τὰ λάφυρα ϗ ἡ Κασάνδρα. αὐτὸς μὲν οὖν προεισέρχεται εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήσρᾳ. Κασάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς ϗ τῶ Αγαμέμνονος θάνατον, ϗ τὴν ἐξ Ορέσου μητροκτονίαν, ϗ εἰσπηδᾷ ὡς θανουμένη, ῥίψασα τὰ σέμματα. τῶτο δὲ τὸ μέρος τῶ δράματος θαυμάζεται, ὡς ϗ ἔκπληξιν ϗ οἶκτον ἱκανὸν ἐμποιεῖν. ἰδίως δὲ Αἰσχύλος τὸν Αγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι ποιεῖ· τὸν δὲ Κασάνδρας σιωπήσας θάνατον, νεκρὰν αὐτὴν ὑπέδειξε. πεποίηκέ τε Αἴγισθον ϗ Κλυταιμνήσραν, ἑκάτερον διϊσχυριζόμενον περὶ τῆς ἀναιρέσεως, ἐπὶ κεφαλαίῳ· τὴν μὲν, τῇ ἀναιρέσει Ιφιγενείας· τὸν δὲ, ταῖς τοῦ πατρὸς Θυέσου ἐξ Ατρέως συμφοραῖς.

Εδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους, ὀλυμπιάδι εἰκοστῇ ὀγδόῃ, ἔτει δευτέρῳ. πρῶτος Αἰσχύλος Αγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Αφιδνεύς.

Τὰ τῶ δράματος πρόσωπα.

ΦΥΛΑΞ.
ΧΟΡΟΣ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ΤΑΛΘΥΒΙΟΣ κήρυξ.
ΑΓΑΜΕΜΝΩΝ.
ΚΑΣΑΝΔΡΑ.
ΑΙΓΙΣΘΟΣ.

Προλογίζει δὲ ὁ φύλαξ, θεράπων Αγαμέμνονος.

Argumentum Æſchyli Tragœdiæ quæ inſcribitur AGAMEMNON.

AGamemnon, verſus Trojam profecturus, Clytemneſtræ pollicitus eſt, ſi Urbem ceperit, ſe eodem die id ſignificaturum face accenſa. Unde Speculatorem mercede conductum Clytemneſtra conſtituit qui facem obſervaret. Hac ille viſa nunciavit: Ipſa vero de face verba factura Senum cœtum accerſit, e quibus conſtituitur Chorus; qui, re audita, pæana canunt. Non multo poſt advenit Talthybius, & quæ inter navigandum acciderant narrat. Agamemnon rheda venit, quem ſequitur rheda alia, in qua manubiæ & Caſandra. Prior ergo ille cum Clytemneſtra domum ingreditur. Caſandra autem, priuſquam Regiam intraverit, vaticinata eſt & ſui & Agamemnonis mortem, & ab Oreſte perpetrandum matricidium; & abjiciens coronas inſilit tanquam moritura. Hæc fabulæ pars mirabilis eſt, utpote & ad ſtuporem & commiſerationem permovendam apta. Unus autem Æſchylus Agamemnonem in ſcena interfici comminiſcitur; Caſandræ vero mortem non exhibens, mortuam eſſe innuit. Inducit Ægiſthum & Clytemneſtram rationem reddentes patratæ cædis, argumento (utrumque) peculiari; hanc, ob interfectionem Iphigeniæ; illum, ob calamitates quas pater ejus Thyeſtes ab Atreo perpeſſus eſt.

Acta eſt hæc fabula Philocle Archonte, anno ſecundo Olympiadis viceſimæ octavæ. Vicit Æſchylus Agamemnone, Choëphoris, Eumenidibus, Proteo Satyrico. Sumptus miniſtravit Xenocles Aphidnenſis.

Fabulæ Perſonæ.

SPECULATOR.
CHORUS.
CLYTEMNESTRA.
TALTHYBIUS præco.
AGAMEMNON.
CASANDRA.
ÆGISTHUS.

Prologum agit Speculator, Agamemnonis famulus.

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑ

ΑΓΑΜΕΜΝΩΝ.

ΙΑΜΒΟΙ.

φύ. ΘΕΟΥΣ μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων,
Φρουρᾶς ἐτείας μῆκος, ἣν κοιμώμενος
Στέγαις Ατρειδῶν ἄγκαθεν, κυνὸς δίκην,
Ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν,
Καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
Λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι
Ἀστέρας, ὅταν φθίνωσιν, ἀντολάς τε τῶν·
Καὶ τὴν φυλάσσω λαμπάδος τὸ σύμβολον,
Αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν,
Ἀλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖ
Γυναικὸς ἀνδρόβουλον ἐλπίζω κέαρ.
Εὖτ' ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχω
Εὐνὴν ὀνείρων οὐκ ἐπισκοπουμένην·
Ἐμὴν, φόβος γὰρ ἀντ' ὕπνου παραστατεῖ,
Τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ·
Ὅταν δ' ἀείδειν ἢ μινύρισθαι δοκῶ,
Ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος,
Κλαίω τότ' οἶκον τοῦδε συμφορᾶν ἕξιν,
Οὐχ, ὡς τὰ πρόσθ', ἄριστα διαπονουμένου.
Νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων
Εὐαγγέλου φανέντος ὀρφναίου πυρός.
Ὦ χαῖρε λαμπτὴρ νυκτὸς, ἡμερήσιον
Φάος πιφαύσκων, καὶ χορῶν κατάστασιν
Πολλῶν ἐν Ἄργει, τῆσδε συμφορᾶς χάριν.
Ἰοὺ, Ἰοὺ.
Ἀγαμέμνονος γυναικὶ σημαίνω τορῶς,
Εὐτῆς ἐπαντείλασαν ὡς τάχος, δόμοις
Ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι
Ἐπορθιάζειν, εἴπερ Ἰλίου πόλις

¶ 2. Φρουρᾶς ἐτείας μῆκος] ἢ κῆ τὸ μῆκος ἢ ἐτείας Φρουρᾶς. γράφεται δέ, μῆκος δ' ἴσῳ κοιμώμενος. Κοιμώμενος] τὸ κοιμώμενος οὐκ ἀεὶ ὕπνῳ· (πῶς γὰρ ἂν ἡ Φρουρὰ ἡ ἀέρα βλέποι ὁ ὑπνῶν;) ἀλλ' ἀεὶ ἁπλῆς ἀνακλίσεως· ἵνα ᾖ ὁ φύλαξ ἐπὶ κοιμώμενος καθὰ καὶ κύων ἐν φυλακῇ νυκτερινῇ. ¶ 3. Λυκαθεν] κῆ συγκοπὴν, ἀντὶ τοῦ ἀνέκαθεν· τοῦτ' ἔστιν, ἄνωθεν, ἐξ ἀρχῆς. Κυνὸς δίκην] δῆλα τὸ φυλακικὸν τι καὶ φιλοδέσποτον. ¶ 6. Δυνάσας] τὰς δυναμένας ἢ τὰ ἄστρα σημαίνειν τὰς καιρούς. ¶ 11. Ἀνδρόβουλον] τὸ μείζονα

ÆSCHYLI TRAGOEDIA
AGAMEMNON.

IAMBI.

Spec. DEOS quidem poſco horum exitum laborum,
Cuſtodiæ annuæ levamen, qua excubans
Super ædes Atridarum, inſtar canis,
Aſtrorum cognovi nocturnorum chorum,
Cum hyemem tum æſtatem ferentes mortalibus
Principes claros, eminentes in cœlo
Stellas, occaſus & ortus ipſarum;
Et nunc obſervo lampadis teſſeram,
Fulgorem ignis afferentem a Troja rumorem,
Excidialemque indicationem: ſic enim jubere
Mulieris viro-inſidiantem autumor animum.
Interea noctivagum roſcidumque habeo
Cubile ſomniis minime viſitatum;
Metus enim mihi ſomni vice adſtat,
Ne arcte palpebras concludam ſomno.
Cum autem mihi viſum eſt cantare aut minurire,
Hoc ſomni loco adhibens cantionis remedium,
Ploro tunc hujuſce domus infortunium gemens,
Non, ſicut antea, optime adminiſtratæ.
At nunc felix fiat laborum exitus,
In lætum nuncium apparente nocturno igne.
O ſalve, fax noctis, diurnum
Lumen oſtendens, & chorearum inſtitutionem
Multarum apud Argos, hujus eventus gratia!
Io, Io!
Agamemnonis uxori ſignificabo clare,
Ut ipſa ſurgens lecto quam citiſſime, per domum
Ovationem bene-auſpicantem huic lampadi
Alacriter-accinat, ſiquidem Ilii urbs

ζοντα ἢ τῷ γυναῖκα βουλευόμενον, χθονὸς· ἢ, τῷ ἀνδρὸς δεῖ διασήματος ὀλίγα ὑπαύδα, εἶτα ἀναπεμπέτω, ὡς βουλευόμενον. ¶ 14. Φόβῳ δὲ] ἢ περισσὸς ὁ, γάρ, θαμβάλλων ἢ πυρσόν. Νυκτὸς, ἡμερήσιον] ὁκ νυκτὸς ἢ λείπει τὸ, ἀλύων. ¶ 18. Οἶκα τῶδε] οἶκα διαστεναμένης οἶκ ἄελπα, ὡς τὸ πεφόβημαι. ¶ 22. Ω χαῖρε] ἡμέραν ἡμῶν διδύσ. ¶ 26. Τερπῶς] μεγαλοφώνως. ¶ 27. Εναντέλλασαν] ὡς ἐπὶ ἄστρου ἢ σελήνης.

Ἐάλωκεν, ὡς ὁ Φρυκτὸς ἀγγέλλων πρέπει·
Αὐτός τ' ἴγωγι φροίμιον χορεύσομαι.
Τὰ δισποτῶν γὰρ εὖ πεσόντα θήσομαι,
Τρὶς ἓξ βαλούσης τῆσδέ μοι Φρυκτορίας.
Γένοιτο δ' οὖν μαλόντος εὐφιλὴς χέρα
Ἄναχτος οἴκων τῇδε βαστάσαι χερί.
Τὰ δ' ἄλλα σιγῶ, βοῦς ἐπὶ γλώσσῃ μέγας
Βέβηκεν· οἶκος δ' αὐτὸς, εἰ φθογγὴν λάβοι,
Σαφέστατ' ἂν λέξειεν. ὡς ἐκὼν ἐγὼ
Μαθοῦσιν αὐδῶ, κ' οὐ μαθοῦσι λήθομαι.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. Δέκατον μὲν ἔτος τόδ' ἐπὶ Πριάμῳ
Μέγας ἀστίδικος,
Μενέλαος ἄναξ ἠδ' Ἀγαμέμνων,
Διθρόνου Διόθεν καὶ δισκήπτρου
Τιμῆς, ὀχυρὸν ζεῦγος Ἀτρειδᾶν,
Στόλον Ἀργείων χιλιοναύταν
Τῆσδ' ἀπὸ χώρας
Ἦραν, στρατιῶτιν ἀρωγάν,
Μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη,
Τρόπον αἰγυπιῶν, οἵτ', ἐκπατίοις
Ἀλγεσσι παίδων, ὕπατοι λεχέων
Στροφοδινοῦνται,
Πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι,
Δεμνιοτήρη
Πένθη ὀρταλίχων ἀλέσαντες·
Ὕπατος δ' ἀΐων ἤ τις Ἀπόλλων,
Ἢ Πάν, ἢ Ζεύς, εἰωνόθροον
Γόον ὀξυβόαν
Τῶνδε μετοίκων, ὑστερόποινον
Πέμπει παραβάσιν ἐρινύν.
Οὕτω δ' Ἀτρέως παῖδας ὁ κρείσσων

¶ 30. Πρέπει] διαφερόντως σημαίνει. ¶ 31. Φροίμιον χορεύσομαι] ᾠδὴ τῆς Κλυταιμνήστρας. ¶ 32. Θήσομαι] οἰκήσομαι. ¶ 33. Τρὶς ἓξ] παροιμία, ἐπὶ τῶν ἄκρως εὐτυχούντων· ἐπεὶ καὶ τοῖς κυβδευταῖς οὐκ ἔστι πλεῖον τούτων εὐθυβολῆσαι. ἔστι δὲ καὶ παροιμία, ἐπὶ τῶν ὑπὸ θεῶν εὐθυβολουμένων. ¶ 36. Βοῦς ἐπὶ γλώσσῃ μέγας] παροιμία, ἐπὶ τῶν δυναμένων παῤῥησιάζεσθαι. Ἄλλως. παροιμία, ἐπὶ τῶν ἀλάλων ἢ, βαρέως ἐπικλήτων ἢ, φοβουμένων ζημίαν ἐπικεισομένην μοι. ¶ 41. Ἀντίδικος] ἀντὶ τοῦ, ἐχθρὸς, ἀπὸ τοῦ ἐν τῇ δίκῃ ἐχθρῶν. ¶ 45. Χιλιοναύταν] γράφεται καὶ, ἓλκειν αὐτάν. ¶ 48. Ἐκ θυμοῦ κλάζοντες] ἐκ γὰρ γλώσσης, ἀλλ' ἔργῳ θυμούμενοι. ¶ 49. Οἵτ' ἐκπατίοις] εἴτινες ὕπατοι ὄντες, ὀλίσαντες ἢ πόνον

Capta eſt, prout ſpecularis ignis apparendo nuntiat.
Ipſeque ego præludium ſaltabo:
Res enim heriles ut bene cedant efficiam,
Cum hæc ſpeculatio mihi ter ſex jecerit.
Contingat igitur mihi ut reducis amicabilem manum
Domini ædium (*iſtarum*) hac ſuſtineam manu.
Sed cœtera taceo, bos in linguam magnus
Inceſſit; domus vero ipſa ſi vocem acceperit,
Clariſſime eloquatur. Adeo lubens ego
Intelligentibus loquor, & non intelligentes lateo.

ANAPÆSTI.

Chor. Decimus quidem hic annus ex quo Priami
Magnus adverſarius,
Menelaus rex & Agamemnon,
Throni gemini geminique a Jove ſceptri
Dignitatis, validum par Atridarum,
Claſſem Argivorum mille-navium
Ab hac regione
Solverunt, militare auxilium,
Magnum ex animo clangentes Martem;
More vulturum, qui, præ doloribus
Pullorum ſublatorum, ſupra cubilia
Circumvolitant,
Alarum remis remigantes,
Quod laborem circa pullos
In obſervandis nidis perdiderint;
Supremus vero audiens aut Apollo,
Aut Pan, aut Jupiter, ab avibus editum
Clariſonum luctum
Ob hos abductos, ſero-punientem
Mittit raptoribus Erinnyn.
Sic Atrei filios optimus

πόνου τ' ὀρταλίχων, τ' ἐκ τοῖς δεμνίοις τηρέμενον, ἐπὶ τ' λεχέων τροφοδοτέν). Λλως. ἐκπατίοις, τοῖς ἔξω τ' οἴκου· πατ' γὰρ ἡ ὁδός. ἢ, ἐκπατίοις λεχέων, ἀντὶ τ', τοῖς ἔξω τῆς οἰκίας αὐτῶν. τὸ δὲ ὅλον, οἵτινες ἀπολέσαντες τὰς πόας τῶν ὀρταλίχων τῶν ἐκ τοῖς δεμνίοις τηρεμένων (ὅτω γὰρ ὄφελον εἶχεν) τροφοδοτοῦσα ἐκ ἄλγεσι τῶν παίδων ἐκπατίοις, ὑπατει, ἤγουν ὑπεράνω τῶν λεχέων, πληττόμενοι ταῖς πτέρυξιν αὐτῶν. δίον δὲ εἶπεν ἐκπατίοις παίδων· ἐκπατίοις εἶπε, πρὸς τὸ ἄλγεσι. ¶ 54. Ορταλίχων] τῶν μηδέπω πετομένων νεοττῶν. ¶ 58. Τῶν δὲ μετοίκων] ἐπὶ τῶν μετοικισθέντων νεοσσῶν. ¶ 59. Παρβάσι] τοῖς ἀδικήσασι καὶ μετοικίσασιν αὐτούς.

Επ' Αλεξάνδρῳ πέμπει ξένιος
Ζεὺς, πολυάνορος ἀμφὶ γυναικὸς,
Πολλὰ παλαίσματα καὶ γυιοβαρῆ,
Γόνατος κονίαισιν ἐρειδομένου,
Διακναιομένης τ' ἐν πρωτελείαις
Κάμακος, θῆσαν Δαναΐσι
Τρωσί θ' ὁμοίως. ἔστι δ' ὅπη τῶν
„Ἐστὶ τελεῖται δ' ἐς τὸ πεπρωμένον·
„Οὔθ' ὑπακλαίων, οὔθ' ὑπολείβων,
„Οὔτε δακρύων, ἀπύων ἱερῶν
„Ὀργὰς ἀτενεῖς παραθέλξει.
Ἡμεῖς δ' ἀτίτᾳ σαρκὶ παλαιᾷ,
Τῆς τότ' ἀρωγῆς ὑπολιφθέντες
Μίμνομεν, ἰσχὺν
Ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις.
Ὅτε γὰρ παρὸς μυελὸς σθένων
Ἐντὸς ἀτάσσων
Ἰσόπρισβυς, ἄρης δ' οὐκ ἔνι χάρᾳ,
Τόθ' ὑπέρκηρων Φυλλάδος ἥδη
Καταχαζομένης, τρίποδας μὲν ὁδοὺς
Στείχει, παιδὸς δ' οὐδὲν ἀρείων,
Ὄναρ ἡμερόφαντον ἀλαίνει.
Σὺ δὲ, Τυνδάρεω
Θύγατερ, βασίλεια Κλυταιμνήστρα,
Τί χρέος; τί νέον; τί δ' ἐπαισθομένη,
Τίνος ἀγγελίας
Πεισθεῖσ' περίπεμπτα θυοσκοεῖς;
Πάντων δὲ θεῶν τῶν ἀγυιόμαν,
Ὑπάτων, χθονίων,
Τῶν τ' οὐρανίων, τῶν τ' ἀγοραίων,
Βωμοὶ δάροισι φλέγονται·
Ἄλλη δ' ἄλλοθεν εὐσταμένης
Λαμπὰς ἀίσσει,
Φαρμασσομένη χρίσματος ἀγνοῦ
Μαλακαῖς ἀβόλοισι παρηγορίαις,
Πελάτῳ μυχόθεν βασιλείῳ.

¶ 62. Πολυάνορος ἀμφὶ γυναικὸς] τῆς πολυάνδρου διακναιόμενης. Ἐν πρωτελείοις] ἀγρίοις, ἢ πρὸ μνηστῆρος ἰσχνοῖς. ¶ 63. Καὶ γυιοβαρῆ] βαρία, γάμου θυσίαις· τῶν δὴ, ταῖς μὲν τὸ ἀλώσεως μάχαιρα· δὲ μὴ ἰῶντα ἀναιεῦσαι τὰς πίστεις. ¶ 65. Διακ- ¶ 67. Ἐστὶ δ' ὅπη] παρὰ τὸ, Καὶ τὸ μὲν ὧδε κε πίλλη,

Adverſus Parin mittit hoſpitalis
Jupiter, pro muliere multinuba,
Plurima & membra-gravantia certamina,
Genu arenis fulcito,
Fractaque in primitiis (*pugnæ*)
Haſta, impoſiturus Danais
Simul & Trojanis. Cæterum (*res*) ſunt ubi nunc
„Sunt; ſed eventum ſecundum fatum ſortiuntur;
„Neque quiſquam, ſive plorans, ſive libans,
„Sive flens, ſacrorum igne-carentium
„Iras intenſas demulcebit.
At nos emerita carne ſenili
In illa expeditione derelicti
Manemus, vires
Pueris-æquales regentes ſcipionibus.
Nam & juvenilis medulla
Quæ intra pectora dominatur,
Æquæva eſt, Mars (*i. vigor Martius*) non ineſt in ſuo loco;
Et nimia ſenilitas, foliis nunc
Exarefactis, tripodes per vias
Incedit, pueroque nihilo validior,
(*Quaſi*) ſomnium diurnum errat.
Tu vero, Tyndarei
Filia, regina Clytemneſtra,
Quid rei, quid novi eſt? quidnam intelligens,
Cujus nuntii ſuaſu
Huc atque illuc miſſa ſacra peragis?
Omnium vero Deorum urbanorum,
Supremorum, terreſtrium,
Cœleſtium & forenſium
Aræ donis ardent:
Alia aliunde ad cœlum uſque pertingens
Lampas tollitur,
Delibuta olei caſti
Mollibus puris fomentis,
Cum libatione e regiis cellis deprompta.

λει, τὰς ἴσαι. ¶ 69 Οὔ' ὑπακλαίων] τὸ, τὶς, χώρᾳ] τῷ τόπῳ ἐκείνῳ. ¶ 82. Αλαίνει] ἀλᾶται. λείπει. ¶ 70. Απύρων ἱερῶν] ἢ θυσιῶν ἢ μοιρῶν ἢ ¶ 85. Τί χρέ@] διατί. ¶ 94. Χείματο@ αἰγιοῦ] ἢ ἐμπύων, ἃ ἢ νηφάλια καλεῖται. ¶ 78. Οὐκ ἔνι ἢ ἐλαία. ¶ 96. Μυχόθεν] λείπει, κομιζομένῳ.

Τούτων λίξασ' ὅ, τι καὶ δυνατὸν
Καὶ θέμις αἰτῆν,
Παίων τε γυνοῦ τῆσδε μερίμνης,
Η νῦν τοτὲ μὲν κακίφρων τελέθει,
Τοτὲ δ' ἐκ θυσιῶν ἀγαθὰ φαίνεσ'
Ελπὶς ἀμύτει φροντίδ' ἄπληστον,
Τὴν θυμοβόρον λύπης φρένα.

ΕΠΩΔΙΚΑ.

στροφή.

Κύριός εἰμι θεοῖν ὅδιον κράτος
Αἴσιον ἀνδρῶν
Εκτελέσαι. ἔτι γὰρ θείνει καταπείθει
Πειθὼ μολπᾶν,
Αλκὰν σύμφυτος αἰὼν,
Οπως Αχαιῶν
Δίθρονον κράτος, Ελλάδος ἥβαν,
Ξύμφρονα ταγὰν,
Πέμπῃ ξὺν δορὶ δίκας πράκτορι
Θούριος ὄρνις Τευκρίδ' ἐπ' αἶαν.
Οἰωνῶν βασιλεὺς
Βασιλεῦσι νεῶν, ὁ μελανεὺς,
Ο, τ' ἐξόπιν ἀργίας,
Φανέντες ἴκταρ μελάθρων,
Χερὸς ἐκ δορυπάλτου,
Παμπρέπτοις ἐν ἕδραισι,
Βοσκόμενοι λαγίναν
Ερικύμονα φέρβοντο γέπαν,
Βλαβέντα λοισθίων δρόμων.
Αἴλινον, αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.

ἀντιστροφή.

Κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο
Λήμασι δισσοὺς

¶ 100. Τοτὲ μὲν] ἴσθ' ὅτε μέν. ¶ 103. Πλὴν θυμοβόρον] ἤτις ἐστὶ θυμοβόρος λύπη τῶ φρενός. ¶ 104. Κύριός εἰμι θρασὺς] δυνατός εἰμι εἰπεῖν τὸ συμβὰν αὐτοῖς σημεῖον ἐξηγεῖσθαι. Οδιον] τὸ ἐν τῇ ὁδῷ ὀφθέν. ¶ 106. Θείνει καταπείθει] πείθει γάρ με ἡ παρὰ θεῶν πίστις μέλπειν, καὶ λέγειν ὅτι εὖ πράξουσιν οἱ Ατρεῖδαι ὅσον ἐπὶ τῷ σημείῳ. ¶ 108. Σύμφυτος αἰὼν] ὁ γὰρ εὔμφυτός μοι αἰὼν, ὅ ἐστι, τὸ γῆρας, δέδε ἢ εἰς θεὸς πειθὼ, μολπὴν μοι καὶ ἀλκὴν καταπνεῖ. ὅ ἐστιν, εἰ καὶ γέρων εἰμὶ, ὅμως μέλπω τὰ γενόμενα.

Harum rerum tu locuta mihi quodcunque licet
Et monere fas eſt,
Medicus eſto hujus ſolicitudinis,
Quæ nunc alias infeſta exiſtit,
Alias ex ſacris extis amica oſtendens
Spes propulſat curam immenſam
Animum exedentem.

EPODICA.

Strophe.

Potis ſum enarrare itinerantem potentiam
Auſpicatam virorum
Perfectorum; adhuc enim divinitus ſpirat
Fiducia cantum,
Vireſque cognata ætas (*ſubminiſtrat*,)
Quo pacto Achivorum
Geminum imperium, pubis Græciæ
Concordem ducatum, (*vel*, *concordes duces*)
Miſerit cum haſta exactore pœnarum (*i. cum milite vindice*)
Ales rapax Trojanam in terram.
Avium rex,
Ducibus navium, & qui niger,
Et qui parte poſtica candidus,
Apparentes prope atrium,
Manu (*fulminis*) jaculatrici (*miſſi*)
Splendidis in ſedibus
Veſcentes leporinam,
Prægravidam epulabantur ſobolem,
Extremis in curſibus impeditam.
Næniam, næniam dic, bene autem eveniat.

Antiſtrophe

Venerandus vero exercitus augur cum vidiſſet
Animis geminos

γονότα· πέποιθα δ' ὅτι τὶς πίρας αὐτὰ ἄξειν οἱ θεοί. ¶ 110. Εθαύθη ἦβαν] τὸν κρατοῦντας τὴν Ἑλλωνικὴν ἦβλω, ἢ τὴ ὁμόφρονα περὶ τὰ τακτικά. λέγει δὲ τὸς Ατρείδας. ¶ 112. Δίπας πράκτορας] τῷ δίκλω ἐσπραξομένων. ¶ 116. Ο, τ' ἐξόπιν ἀρχίας] ὁ ἐξοπίσω λυκός. ὁ ἐστι, ὁ πύραγρ@. ¶ 119. Παμπρέπτοις] τοῖς βασιλικοῖς. ¶ 120. Λαγίναν βρύουσαν] τὸν λαγωόν. ¶ 121. Εμκύμονα] πολυκύμονα. ¶ 122. Βλαβέντα] ὡς τὸ σημαινόμενον τὸ βλαβέντα. ¶ 123. Αἴλινον] ἐπειδὴ ὁ αἴλινος καὶ ὀλοὸν θρῆνος λέγεται, φησὶν ὅτι ἐν τάξει ὕμνος αὐτὸν λέγει.

¶ 128.

Ατρείδας μαχίμους, ἐδάη λαγοδαίτας
Πομπούς τ' ἀρχούς·
Οὕτω δ' εἶπε τεράζων·
Κρόνῳ μὲν ἀγχεῖ
Πριάμου πόλιν ἄδε κέλευθος,
Πάντα δὲ πύργων
Κτήνη πρόσθε τὰ δημιοπληθῆ
Μοῖρ' ἀλαπάξει πρὸς τὸ βίαιον.
Οἷον μήτις ἄτα
Θείθεν κεφάσῃ πρατυπὲν
Στόμιον μέγα Τρωίας
Στρατευθέν. οἴκῳ γὰρ ἐπί-
φθονος Αρτεμις ἁγνὰ,
Πτανοῖσι κυσὶ πατρὸς,
Λυτότοκον πρὸ λόχου
Μογερὰν πτῶκα θυομένοισιν·
Στυγεῖ δὲ δεῖπνον αἰετῶν.
Αἴλινον, αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.

ἐπῳδός.

Τόσσον περ ἴυφραν ἀ καλὰ
Δρόσοισιν ἀέπτοισι μαλερῶν ὄντων,
Πάντων τ' ἀγροτόμων φιλομάστοις
Θηρῶν ὀβρικάλοισι, τερπτὰ
Τούτων αἰτεῖ ξύμβολα φάναι,
Δεξιὰ μὲν, κατά-
μομφα δὲ φάσματα στρυθῶν.
Ιήϊον δὲ καλέω Παιᾶνα,
Μή τινας ἀντιπνόους
Δαναοῖς χρονίας ἐχεπήδας
Απλοίας τεύξῃ,
Σπευδομένα θυσίαν
Ετέραν, ἄνομόν τιν', ἄδαιτον,
Νεαίραν τέκτονα σύμ-
φυτον, οὐ δυσήτορα. μίμνει

¶ 128. Τεράζων] τὰ τέρατα διηγούμενος. ¶ 132. Κτηνῶν] κτήματα. ¶ 134. Μήτις ἄτα] μόνον μὴ πρεπτὸν ὑπὸ θεῶν τὸ στρατευθὲν τὴν Τρωίας στόμιον, ὅ ἐστι, τὸ ἐπὶ βλάβῃ Τρωίας στρατευθὲν, ἄτη ἐκατέρας. ¶ 137. Οἴκῳ γὰρ] τῷ γὰρ οἴκῳ τῶν αὐτῶν Διὸς, ὅ ἐστι, τῶν αἰετῶν, ὀργίζεται, Αρτεμις ἡ τὰ κύνεια τῶν λαγῶν ἀποκτείνασα. Λοχείᾳ γὰρ ἐστιν ἡ θεός. ¶ 140. Λυτότοκον] σὺν αὐτῷ τόκῳ. ¶ 141. Πτῶκα] τὴν λαγών. ¶ 145. Δρόσοισιν] τοῖς νεογνοῖς. χωρὶς δ' αὖ τέρατα. Αἰπόλοισι] τοῖς ἐπὶ τοῖς γονεῦσι μὴ

Atridas pugnaces, agnovit leporum epulatores,
Deductoresque principes;
Sic vero fatur prodigia dicens:
Longo post tempore capiet
Priami urbem hæc expeditio;
Omnes vero (*intra*) murorum (*ambitum*)
Opes, quibus ante populus abundabat,
Fatum vi diripiet.
Tantum (*precor*) ne qua calamitas
Divinitus missa obnubilet procusum
Frænum magnum Trojæ (*exercitum*)
Expeditione profectum. Domui enim huic
Irata est Diana casta,
Volucribus canibus patris (*Jovis*)
Qui una cum fœtu ante partum
Miseram leporem mactarunt;
Odit vero cœnam aquilarum.
Næniam, næniam dic, bene autem eveniat.

Epodus.

Nempe illa pulcra tantopere benevola
Pullis nondum volatilibus ob debilitatem,
Omniumque agrestium mammas amantibus
Ferarum catulis, jucunda
Horum signa exigit ut edam,
Fausta quidem, sed culpanda,
Ostenta harum aquilarum.
Jaculatorem autem invoco Apollinem,
Ne quas contrariorum ventorum
Danais diuturnas puppium-retentrices
Navigationis difficultates creet,
Urgens sacrificium
Aliud barbarum, non epulandum,
Litium fabrum,
Virum non metuentem: manet enim

μὴ δυναμένοις. Ἀλλως. τοῖς μὴ δυναμένοις πίλωσαι. Μαλερῶν] φθαρτικῶν. ¶ 148. Ξύμβολα φάναι] τὰ σύμβολα αἰτεῖ με φάναι. ¶ 149. Δεξιὰ μὲν, καταμομφὰ ἢ φάσματα] δεξιὰ δὲ ἢ νίκλω, κατάμομφα δὲ ἢ χόλον Ἀρτέμιδος. ¶ 150. Στρυθῶν] ἢ αἰετῶν. ¶ 151. Ἰέϊον ἢ κακὸν] ὡς μάντις. ¶ 154. Ἀπλοίας τευξῃ] ὦ Ἄρτεμι. ¶ 156. Ἀδαῖον] ἰῶ ὑδοὶς ἴδαισεν. ¶ 157. Σύμφυτον] συγγενικὸν. ¶ 158. Οὐ δεισήνορα] ἢ Φοβερόν, ἢ, ἢ δείσαντα ἢ ἄνδρα.

Γὰρ φοβερὰ παλίνορσος
Οἰκοτέμως δολία,
Μνάμων μῆνις τεκνόποινος.
Τοιάδε Κάλχας ξὺν
Μεγάλοις ἀγαθοῖς ἀπέκλαγξεν
Μόρσιμ' ἀπ' ὀρνίθων
Οδίων οἴκοις βασιλείοις·
Τοῖς δ' ὁμόφωνον
Αἴλινον, αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

στροφὴ α.

Ζεὺς, ὅστις ποτ' ἐστὶν, εἰ τόδ' αὐ-
τῷ φίλον κεκλημένῳ,
Τοῦτό νιν προσεικάσω.
„Οὐκ ἔχω προσεικάσαι,
„Πάντ' ἐπισταθμώμενος,
„Πλὴν Διὸς, εἰ τόδε μάταν
„Ἀπὸ φρενοῖδος ἄχθος
„Χρὴ βαλεῖν ἐτητύμως.

ἀντιστροφὴ α.

„Οὐδ' ὅστις πάροιθεν ἦν μέγας,
„Παμμάχῳ θράσει βρύων,
„Οὐδέν τι λέξαι πρὶν ὤν,
„Ος δ' ἔπειτ' ἔφυ, τρια-
„κτῆρος οἴχεται τυχών.
„Ζῆνα δέ τις προφρόνως
„Ἐπινίκια κλάζων,
„Τεύξεται φρενῶν τὸ πᾶν.

στροφὴ β.

„Τὸν φρονεῖν βροτοὺς ὁδώ-
„σαντα, τῷ πάθει μαθὼν

159. Παλίνορσος] ἡ ἐξ ὑστέρου ὁρμωμένη. ¶ 162. Ξὺν μεγάλοις ἀγαθοῖς] δῆλ. ἢ νίκῃ. 166. Ομόφωνον] ὁμοφώνως. ¶ 168. Ζεὺς, ὅστις] διαφορὰ γάρ ἐστιν ἡ πρὸς ἓ θεία δόξα. ¶ 171. Οὐκ ἔχω προσεικάσαι] ἐγὼ, φησι, πάντα ἐμαυτῷ καὶ πάντα ἐξετάζων ὡς ἐν σταθμῷ τινι, οὐκ ἔχω ὅμοιόν τι ἐυρεῖν τῷ Διΐ, εἰ μὴ ἀληθῶς ὑποβαλεῖν ὑπὸ τ' φρενοῖδος καὶ ἓ λογισμοῦ μάταιον ἄκρον ἄχθος. τὸ γὰρ σφὶ τινων ἄκρων διαλογίζεσθαι, μάταιόν ἐστιν ὄντως ἄχθος· ἡ δέ γε σφὶ θεία ἴσχυσε, καὶ τὸ δῆλον μήκιστον ἐκεῖνον ἔχειν ἀεὶ, ἡ μό-

Metuenda redux
Domicuſtos doloſa,
Memor ira exigens pro filia.
Talia Calchas cùm
Præclaris ſucceſſibus vociferatus eſt
Fata ab avibus
Occinibus ædibus regiis:
Convenientem vero hiſce (*oraculis*)
Næniam, næniam dic, bene autem eveniat.

ANTISTROPHICA.

Strophe 1.

Jupiter, quiſquis eſt, ſi hoc
Nomine appellari gaudeat,
Hoc cum ipſe appello.
„Non poſſum conjectare,
„Cum omnia penſitem,
„Præter Jovem, in quem hoc vanum
„Curæ pondus
„Vere oportet rejicere.

Antiſtrophe 1.

„Adeo ille qui modo erat potens,
„Omnium ad pugnandum provocatrici ſuperbiens audacia,
„Nihil dictu exiſtens prius,
„Quantus quantus vero poſtea evaſerit,
„Superiorem nactus perit.
„Jovem vero alacriter
„Per ovationes laudans,
„Compos fiet uſquequaque ſui propoſiti.

Strophe 2.

„(*Jovem, inquam*) qui ſapere homines
„Docet, nocumento

τον ἄχθος παντός ἐστιν ἀπηλαγμένον, ἀλλὰ ϗ χαρᾶς σαφῆ τὰ γνώμης, Διὸς νομίζετω. ¶ 176. Ην μέγας] ἀφ' ἧς τοὺς Τιτᾶνας. ¶ 177. Θράσει βρύων] ὁ Τυφῶν. ¶ 179. Τελαμῶνος] νικητὴν ὁπλομαχίας τὸν ἐν ταῖς πενταθλοις ἀποτελοῦντα ἐπὶ ἐλπίδι νίκης. ¶ 183. Τανύσεται φρενῶν τὸ πᾶν] ὑλοσχερῶς φρόνιμος ἔσται. ¶ 185. Τῷ πάθει μαθὼν] — παθὼν δέ τε νήπιος ἔγνω.

„Θέντα κυρίως ἔχειν.
„Στάζει δ' ἴτ θ' ὕπνῳ πρὸ καρδίας
„Μνησιπήμων πόνος·
„Καὶ παρ' ἄκοντας ἦλθε σωφρονεῖν.
Δαιμόνων δέ που χάρις, βιαίας
Σέλμα σεμνὸν ἡμένων.

ἀντιστροφὴ β.

Καὶ τόθ' ἡγεμὼν ὁ πρέσβυς
Νεῶν Ἀχαϊκῶν,
Μάντιν οὔτινα ψέγων,
Ἐμπαίοις τύχαισι συμπνέων,
Εὖτ' ἀπλοίᾳ κιναγγεῖ
Βαρύνοντ' Ἀχαϊκὸς λεὼς,
Χαλκίδος πέραν ἔχων παλιρρό-
θοις ἐν Αὐλίδος τόποις.

στροφὴ γ.

Πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι
Κακόσχολοι, νήστιδες, δύσορμοι
Βροτῶν ἄλαι, ναῶν
Καὶ πεισμάτων ἀφειδεῖς,
Παλιμμήκη χρόνον τιθεῖσαι
Τρίβῳ, κατέξαυον ἄνθος Ἀργείων.
Ἐπεὶ δὲ καὶ πικροῦ
Χείματος ἄλλο μῆχαρ
Βριθύτερον πρόμαντις
Μάντις ἔκλαγξε, προφέρων
Ἄρτεμιν, ὥστε χθόνα βάκτροις
Ἐπικρούσαντας Ἀτρείδας
Δάκρυ μὴ κατασχεῖν.

ἀντιστροφὴ γ.

Ἀναξ δ' ὁ πρέσβυς τόδ' εἶπε φωνῶν·
Βαρεῖα μὲν χὴ τὸ μὴ πιθέσθαι·
Βαρεῖα δ' εἰ τέκνον

¶ 187. Πρὸ καρδίας μνησιπήμων] τῷ ἁμαρτάπτοιν] συμφωνῶν, ἢ ἐκ ἀνθισάμβ@. ¶ 196. Κεντοτι τοῦτο συμβαίνει. ¶ 191. Σέλμα] ὁ ζυγός. αγγεῖ] Νεῶν ἐξεφθιτο ἅπα παντα. ¶ 198. Ἐχων] ὑπόζυγος γὰρ ὁ Ζεύς. ¶ 192. Ἡγεμὼν] μείζων ἀντὶ ὦ, ἐχίμβ@. ¶ 201. Κακόσχολοι] ὅθη καγὰρ Μενελάϊ. ¶ 195. Ἐμπαίοις] ἐμπεσούσαις. Συμ- κῷ τεινῦσαι σχολάζειν. ¶ 202. Βροτῶν ἄλαι] ἐκ τεῦ

„Efficiens ut documentum vere obtineant.
„Stillat autem etiam in ſomnis ante cor
„Malorum memor cruciatus;
„Et vel ad invitos venit prudentia.
Scilicet (*hæc*) gratia Deorum efficaciter
Sedili venerando (*cæli*) inſidentium.

Antiſtrophe 2.

Tunc Imperator ſenior
Navium Achaicarum,
Vatem neminem vituperans;
Incidentibus caſibus aſſentiens;
Quando navigandi impotentia naves exhauriente
Gravabatur populus Achaicus,
E regione Chalcidis retentus
Refluis in Aulidis portibus.

Strophe 3.

Flatus vero a Strymone venientes
Male feriati, famiferi, importuni
Hominum errores, navium
Et funium prodigi,
Immenſum tempus collocantes
In mora, carpebant florem Achivorum.
Poſtquam vero aliud auxilium,
Vel (*ipſa*) acerba tempeſtate
Gravius, primoribus (*Græcorum*)
Vates clanxit, allegans
Dianam, adeo ut terram Sceptris
Percutientes Atridæ
Non tenerent lacrymas.

Antiſtrophe 3.

Rex major natu tunc hæc dixit;
Gravis quidem calamitas non parere;
Gravis vero ſi filiam

ἕ Ομηρικῶ, Καὶ δὴ ἄγγελω ἐφίπτασκον ἀλητεύοντες. ἄτως, Επει ἦ ὁ μάντις εἶπε τὸ καὶ τὸ, ὁ ἄναξ ἦ ὁ πρέσβυς εἶπε τόδε. καὶ σφέτερος ἐστιν ὁ δὲ σύνδεσμος δέρκα σίσηπε νεῶν. ¶ 205. Τρίβω] διατρίβω. ¶ Αττικῶς. Ἀλλὰ δὲ πικρῷ, ἄναξ ὁ πρέσβυς τόδ' εἶπεν. 208. Βεβυθίτερον] ἐπαχθέστερον. ¶ 213. Αναξ δ' ὁ πρέσβυς τόδ'] ἡ δόσις ἕ ἐπεὶ ἦ, ἐνταῦθα ἐστιν, ¶ 214. Κὴρ] τιμωρία. ¶ 215. Τίκτειν δαΐξω] πλείων εἰς ἕ δέ τὸ τίκτειν.

Δαίζω, δόμων ἄγαλμα,
Μιαίνων παρθενοσφάγοισι
Ῥείθροις πατρῴους χέρας βωμοῦ
Πέλας. τί τῶνδ' ἄπτυ
Κακῶν; τίς πῶς λιπτόταυς τε γίγαμαι,
Ξυμμαχίας ἁμαρτών;
Παυσανέμου γὰρ θυσίας
Παρθενίου θ' αἵματος ὀργᾷ
Περιόργως ἐπιθυμεῖν
Θέμις. εὖ γὰρ εἴη.

στροφὴ δ.

Επεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον
Φρενὸς πνέων δυσσιβὴς τροπαίαν,
Αναγνον, ἀνίερον,
Τόθεν τὸ παντότολμον
Φρονεῖν μετέγνω βροτοῖς.
Θρασύπει γὰρ αἰσχρόμητις
Τάλαινα παρακοπὰ πρωτοπήμων.
Ετλα δ' οὖν θυτὴρ γενέσθαι θυγατρὸς
Γυναικοπείνων πολέμων ἀραγάν,
Καὶ προτέλεια ταῶν
Λιτὰς δὲ καὶ κληδόνας πατρῴους
Παρ' οὐδὲν αἰῶνα παρθένιον
Εθεντο φιλόμαχοι βραβῆς,

ἀντιστροφὴ δ.

Φράσιν δ' ἀόζοις πατὴρ μετ' εὐχάν,
Δίκαν χιμαίρας ὕπερθεν βωμοῦ
Πέπλοισι περιπετῆ,
Παντὶ θυμῷ προσαπτῆ
Λαβεῖν ἀέρδην, στόμα-
τός τε καλλιπρῴρου
Φυλακὰν κατασχεῖν, φθόγγον ἀραῖων οἴκοις,
Βίᾳ χαλινῶν τ' ἀπύδῳ μένει.

¶ 223. Ορχᾷ] τῷ τρόπῳ γὰρ αὐδᾷ ὁ μάντις. ¶ 224. Περιόργως] θυμικῶς. ¶ 225. Εὖ γὰρ εἴη] καλῶς ἀποβαίη. ¶ 226. Ανάγκας ἔδυ λέπαδνον] ἀντὶ ζ, ὡσανάδη ποιεῖ τροπαίαν μεταβολῇ. ¶ 229. Τὸ παντόλμον] ὅθεν ἔγνω πάντα τὰς ἀνθρώπους τολμᾶν, ἀπὸ τῆς ἀναγκης δηλονότι. ¶ 231. Αἰσχρόμητις] αἰσχρὰ ποιοῦσα ἀναγκάζουσα. ¶ 232. Παρακοπὰ] ἡ νῦν ἀφροσύνη. Πρωτοπήμων] ἡ μείζων τῶν

Lacerávero, ornamentum meæ domus,
Maculans a virginea cæde manantibus
Rivulis paternas manus
Ad aras. quodnam horum
Extra malum? quodnam? ſed qui
Proditor fiem claſſis,
A ſocio exercitu deficiens?
Ventorum ſedatricis ſacrificii
Virgineique ſanguinis vehementer cupida eſt
Diana: quod bene eveniat.

Strophe 4.

Exinde neceſſitatis ſubiit capiſtrum
Mentis ſpirans impium ventiverſivum,
Nefandum, profanum,
Unde ſupra modum
Sapere pœnituit mortales:
Audaces enim facit male-ſuada
Miſera inſania autrix malorum.
Suſtinuit itaque mactator natæ fieri
Bellorum mulierem ulciſcentium auxilium;
Et ſacra navium auſpicalia:
Preces vero & voces patrem invocantes
Vitamque virgineam nihili fecerunt
Pugnæ-cupidi principes.

Antiſtrophe 4.

Dixit autem ſervis victimariis pater poſt precationem,
More capræ ſupra aram
Veſtibus involutam,
Totis viribus pronam
Ut illam corriperent tollutim,
Oriſque formoſi
Cuſtodiam comprimerent, vocem infauſtam domibus,
Per vim frænique mutum robur.

ἄ ἄλλων πημάτων. ¶ 236. Λιτὰς δ'] καὶ ἀφ' τὰς 243. λέγδλω] βασανιτικῶς. ¶ 244. Καλιεργέλιτὰς δὲ ἐποιεῖτο πρὸς τὸ πατέρα, παρ' οὗ ἦν ἡγήσαμενου] ἐνηύξω. 246. Βίᾳ χαλινῶν] τῇ βίᾳ καὶ το τὸ ζῶον αὐτῆς. 241. Περιπετῆ] περιεκεκασταῦ ἀταύρῳ μόνοι τῶν χαλινῶν μὴ ἰώντων αὐτὸν λαμένου. ¶ 242. Πρόνωτα] προνενευκυῖαν. ¶ λεῖν.

¶ 249.

Κρόκου βαφὰς δ' ἐς πέδον χέυσ', ἔβαλ' ἕκαστον
Θυτήρων ἀπ' ὄμματος βέλη φιλοίκτῳ,
Πρέπουσά θ' ὡς ἐν γραφαῖς, προσπτέπτειν
Θέλυσ', ἐπεὶ πολλάκις πατρὸς κατ' ἀνδρῶνας
Εὐτραπέζους ἤμελψει.

στροφὴ ε.

Ἀγνὰ δ' ἀταύρατος
Λυδᾷ πατρὸς φίλᾳ τριτόσπονδον εὔποτμον
Αἰῶνα φίλως ἐτίμα.
Τὰ δ' ἔνθεν, οὔτ' εἶδον, οὔτ' ἐπέπω·
Τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
Δίκα δὲ τοῖς μὲν παθοῦσι μαθεῖν
Ἐπιῤῥέπει τὸ μέλλον.

ἀντιστροφὴ ε.

Τὸ δὲ πρόκλυτον,
Ἐπεὶ γένοιτ' ἂν ἡ λύσις, προχαιρέτω·
Ἴσον δὲ τῷ προστένειν.
Τορὸν γὰρ ἥξει σύναρθρον ἀὐταῖς.
Πέλοιτο δ' οὖν τἀπὶ τούτοις εὔπρα-
ξις, ὡς θέλει τόδ' ἄγχιστον ἀπίας
Γαίας μονόφρουρον ἔρκος.

ΙΑΜΒΟΙ.

Ἥκω σιβίζων σὸν, Κλυταιμήστρα, κράτος·
Δίκη γάρ ἐστιν φωτὸς ἀρχηγοῦ τίων
Γυναῖκ', ἐρημωθέντος ἄρσενος θρόνου.
Σὺ δ' εἴτε κεδνὸν, εἴτε μὴ, πεπυσμένη,
Εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς·
Κλύσιμ' ἂν εὔφρων· οὐδὲ σιγώσῃ φθόνος.

Κλ. Εὐάγγελος μὲν, ὥσπερ ἡ παροιμία,
Ἐως γένοιτο μητρὸς εὐφρόνης πάρα.
Πεύσῃ δὲ χάρμα μεῖζον ἐλπίδος κλύων.
Πριάμου γὰρ ἥρήκασιν Ἀργεῖοι πόλιν.

¶ 249. Ὡς ἐν γραφαῖς] ὅξ τὸ κάλλος, ἢ ὅξ τὸ ἀπάνθρωπον εἶναι ἡ σφαγή. ¶ 257. Τοῖς τὸ ἄφωνον. ¶ 252. Ἀταύρωτον] ἄζυγον, μὲν παθοῦσι] τοῖς μὲν πεποιθόσιν ἡ δίκη δίδωσι τὸ μαπαρθενικόν. ¶ 253. Τετόσπονδον] πολλὰς θυσίας θεῖν. δίκαιον γὰρ ὄντες, μανθάνουσι τὸ μέλλον. ¶ ποιοῦντα ἢ εὐωχίας ἢ συμπόσια. Εὔκλειαν] ζηλωτὸν 261. Τῷ προγίνεσθαι] ὁ γὰρ προγινώσκων τὸ μέλ-ἀπείν δὲ ἑαυτῷ ἡ πατέρα. ¶ 255. Οὔτ' εἶδον] λον, καὶ προγιτάζει. 262. Τορὸν] φανερόν. τὸ πε-
πραμένον

At illa, croci tincturas in ſolum fundens, feriebat unumquemque
Sacrificorum ab oculis (*emiſſo*) jaculo miſericordiam creante,
Decora ſicut in picturis (*apparet*,) alloquique volens,
Quoniam ſæpe patris per cœnacula
Opipara cecinerat.

Strophe 5.

Virgo autem viri expers
(*Sua*) voce chari patris ſæpe-libantem felicem
Ætatem amice honorabat.
Quæ deinceps (*facta ſunt*) neque vidi, neque dico.
Artes vero Calchantis non ſunt irritæ.
Juſtitia autem illis qui paſſi ſunt inclinat
Cognoſcere futurum.

Antiſtrophe 5.

Ipſum autem præſcire,
Cum evitare non liceat, valeat;
Quippe idem eſt ac ante tempus ingemiſcere:
Manifeſtum enim eveniet quod vocibus (*vatum*) conſonum eſt.
Ergo poſthac ſecundus ſit
Rerum exitus, ut volet hoc cognatione proximæ Apiæ
Terræ unica cuſtodia & præſidium.

IAMBI.

Accedo tuam, Clytemneſtra, adorans majeſtatem:
Juſtum enim eſt Principis honorare
Uxorem, orbato virili ſolio.
Tu vero ſive audieris quid magni momenti, ſive nil tale (*audiens*)
Ob ſpes bonorum nunciorum ſacra paras.
Audirem lubens, nec tamen indigner ſi taces.

Clyt. Boni quidem nuncii, juxta proverbium,
Aurora ex nocte matre contingat.
Intelliges autem ſpe majus auditu gaudium.
Priami enim ceperunt Argivi urbem.

πρωμίνου φαιτεῖν ἥξει. ¶ 263. Εὔπραξις] εὐπραξία· παρόντος μέντοι οὐ δεῖ συντυγχάνειν αὐτῇ. γάμοι. ¶ 264. Τοῦ ἄγχιστα] τὸ συγχωρεῖν. ¶ 265. Μενέφρονος] ἐπειδὴ μόνοι γίγνοντες ἐφύλαττον τὴν Ἑλλάδα. ¶ 268. Ἐρημωθέντος] ἤγουν, ἐρήμου καταλειφθέντος, ὡς ἀπεδημοῦντος τοῦ βασιλέως. ¶ 271. Οὐδὲ σιγώσης] εἰ μὴ θέλεις εἰπεῖν, οὐ μεμψομαί σοι. 272. Παροιμία] παλαιὸς λόγος. ¶ 273. Ὡς γένοιτο] γένοιτο καλὴ ἡμέρα, ὥσπερ ψαίμιος ἄν.

Χο. Πῶς φής; πέφευγε τοῦπος ἐξ ἀπιστίας.
Κλ. Τροίαν Ἀχαιῶν οὖσαν· ἢ τορῶς λέγω;
Χο. Χαρά μ' ὑφέρπει, δάκρυον ἐκκαλυμίνη.
Κλ. Εὖ γὰς φρονοῦντος ὄμμα σοῦ κατηγορεῖ.
Χο. Τί γὰρ τὸ πιστόν ἐστι τῶνδέ σοι τέκμαρ;
Κλ. Ἔστιν· τί δ' οὐχί; μὴ δολώσαντος Θεοῦ.
Χο. Πότερα δ' ὀνείρων φάσματ' εὐπιθῆ σέβεις;
Κλ. Οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενός.
Χο. Ἀλλ' ἢ σ' ἐπαίνη τις ἄπτερος φάτις;
Κλ. Παιδὸς νέας ὡς, κἀρτ' ἐμωμήσω φρένας.
Χο. Ποίᾳ χρόνῳ δὲ καὶ πεπόρθηται πόλις;
Κλ. Τῆς νῦν τεκούσης Φῶς τόδ' εὐφρόνης, λέγω.
Χο. Καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος;
Κλ. Ἥφαιστος Ἰδης λαμπρὸν ἐκπέμπων σέλας.
Φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγέλου πυρὸς
Ἐπεμπεν. Ἰδη μὲν, πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ Φαὸς ἐκ νήσου τρίτον
Ἄθωον αἶπος Ζηνὸς ἐξεδέξατο,
Ὑπερ Ελης τε πόντον ὥστε ναυτίσαι
Ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν
Πεύκη, τὸ χρυσοφεγγὲς, ὡς τις ἥλιος,
Σέλας παραγγείλασα Μακίστου σκοπαῖς·
Ὁ δ' οὔτι μέλλων, οὐδ' ἀφρασμόνως ὕπνῳ
Νικώμενος, παρῆκεν ἀγγέλου μέρος·
Ἐκὰς δὲ Φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς
Μεσαπίου φύλαξι σημαίνει μολών.
Οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω
Γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.
Σθένουσα λαμπὰς δ' οὐδέπω μαυρουμένη,
Ὑπερθοροῦσα πεδίον Ἀσωποῦ, δίκην
Φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας
Ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
Φάος δὲ τηλέπομπον οὐκ ἀπαίνετο
Φρουρὰ, πλέον καίουσα τῶν εἰρημένων·
Λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν Φάος·
Ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον,
Ὤτρυνε θεσμὸν μὴ χαρίζεσθαι πυρός.

¶ 281. Μὴ δολώσαντ©] εἰ μήπω θεός με ἀπα- τᾷ. ¶ 284. Απτερ©] ἰσόπτερ©, κοῦφη. ¶ ¶ 291. Ερμαῖον] ὄρ© Λήμνε ἐν ᾧ ἱτιμᾶτο ὁ Ερμῆς. ¶ ¶ 292. Φαὸς] λαμπάδα. ¶ 294. Ναυτίσαι] ὑπερ-

Chor. Quid ais? fugit (*me*) dictum (*tuum*) præ incredulitate.
Clyt. Trojam Achivorum esse (*aio.*) num clare loquor?
Chor. Gaudium me subit lacrymas eliciens.
Clyt. Quippe bene te velle vel oculus arguit.
Chor. Quodnam autem certum argumentum tibi istorum est?
Clyt. Est. quidni? nisi fucum faciat deus.
Chor. Num somniorum visa probabilia colis?
Clyt. Non acciperem opinionem (*somno*) gravati animi.
Chor. Num quis beavit te incertus rumor?
Clyt. Tanquam pueræ juvenculæ, graviter cavillaris mentem.
Chor. Quampridem est quod capta est civitas?
Clyt. Hac, inquam, nocte quæ hunc diem peperit.
Chor. Et quis assecutus esset ad nuntiandum tantam celeritatem?
Clyt. Vulcanus ex Ida fulgidum emittens jubar.
Lampas vero lampadem angariantis ignis
Misit: Ida quidem ad Hermæum promontorium
Lemni; ingentem vero facem ex insula tertiam
Atho montis cacumen Jovi dedicatum excepit,
Adeo ut super Helles pontum etiam transfretaretur
Vis permeantis lampadis lubenter,
Picea, auriluca, veluti sol aliquis,
Jubar transmittens Macisti speculis.
Hic autem non omnino aut cunctans, aut incurie somno
Victus, nuntii partes prætermisit;
Sed procul facis lumen ad fluenta Euripi
Mesapii custodibus perveniens indicat:
Qui vero fulgore responderunt, & nuntiarunt ulterius,
Graiæ ericæ acervum accendentes igni.
Valida autem lampas neutiquam obscurata,
Asopi campum transiliens, instar
Lunæ serenæ, ad Cytheronis apicem
Excitavit aliam successionem deductoris ignis.
Lucem autem longe-missam non respuebat
Custos, accendens majorem supra dictis ignem;
Lacumque supra Gorgopin irruebat lumen:
Perveniensque ad montem Ægiplanctum,
Incitavit (*speculatores*) ut mihi indulgerent ignis mandatum.

ὑπερθῶσαι. ¶ 295. Ισχὺς] μεγίστη πύκνη, ἰσχὺς 304. Μανρωμῶν] σημείωσαι ὅτι ἀπέβαλε τὸ α δίχ πνεύσ. 301. Μεσαπίου] Μεσάπιον, ὄρ@ μεταξὺ τὸ μίτεον. ¶ 309. Πλέον καίουσα] ἡ δ Κιθαιρῶν Εὐβοίας ἢ Βοιωτίας. ¶ 303. Θωμὸν] σωρόν. ¶ ν@. ¶ 311. Λιγίπλαγκτον] ὄρ@ Μεγαρικ@.

Πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μέτρῳ
Φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ
Περθμοῦ κάτοπτον πρῶν' ὑπερβάλλῃ πρόσω
Φλέγουσαν· εἶτ' ἔσκηψεν, εἶτ' ἀφίκετο
Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
Κἄπειτ' Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος
Φάος τόδ' οὐκ ἄπαπτον Ἰδαίου πυρός.
Τοιοίδ' ἔτυμοι λαμπαδηφόρων νόμοι,
Ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενος·
Νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.
Τέκμαρ τοιοῦτο σύμβολόν τε σοὶ λέγω,
Ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.
Χο Θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι.
Λόγους δ' ἀκοῦσαι τοὐσδε καὶ ποθαυμάσαι
Διηνεκῶς θέλοιμ' ἄν, ὡς λέγοις πάλιν.
Κλ. Τροίαν Ἀχαιοὶ τῇδ' ἔχουσ' ἐν ἡμέρᾳ.
Οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν.
Ὄξος τ' ἄλυφά τ' ἐγχέας ταυτῷ κύτει,
Διχοστατοῦντ' ἂν οὐ φίλως προσεννέπους.
Καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
Φθογγὰς ἀκούειν ἐστὶ συμφορᾶς διπλῆς.
Οἱ μὲν γὰρ ἀμφὶ σώμασιν πεπτωκότες
Ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων,
Παῖδες γερόντων, οὐκέτ' ἐξ ἐλευθέρου
Δέρης ἀποιμώζουσι φιλτάτων μόρον.
Τοὺς δ' αὖτι νυκτίπλαγκτος ἐκ μάχης πόνου
Νῆστις πρὸς ἀρίστοισιν, ἂν ἔχει πόλις,
Τάσσει, πρὸς οὐδὲν ἐν μέρει τεκμήριον·
Ἀλλ' ὡς ἕκαστος ἔσπασεν τύχης πάλον,
Ἐν αἰχμαλώτοις Τρωϊκοῖς οἰκήμασιν
Νέμεται ἤδη, τῶν ὑπαυθρίων πάγων
Δρόσων τ' ἀπαλλαγέντες, ὡς δυσδαίμονες
Ἀφύλακτον εὐδήσουσι πᾶσαν εὐφρόνην.
Εἰ δ' εὐσεβοῦσι τοὺς παλισσούχους θεοὺς
Τοὺς τῆς ἁλούσης γῆς, θεῶν θ' ἱδρύματα,
Οὐκ ἄν γ' ἑλόντες αὖθις αὖ θάνοιεν ἄν.
Ἔρως δὲ μή τις πρότερον ἐμπίπλῃ στρατῷ

¶ 314. Πώγωνα] πώγωνα λέγει ἢ εἰς ὀξὺ λήγουσαν ἀεμιὰ τοῦ πυρός· ἢ ὁ πώγων γὰρ εἰς ὀξὺ λήγει. ὥσπερ ἢ ἀλαχῆ αὐθάδη γνάθον ἢ ἀκμὴν εἴρηκε, ἢ ὀξύτητα ἢ σφῳός. σημείωσαι ἢ ὅτι ἐκ τούτου ὠνόμασαν ἀεμιὰν τοὺς μετεωρολόγους πωγωνίας ἀστέρ. Σαρωνικοῦ] κόλπος περὶ Τροιζῆνα. ¶ 315. Κάτοπτον] τὸ κατόψιον.

Illi autem mittunt accendentes vi indomita
Promiſſam ignis barbam, & Saronici
Freti ex adverſo conſpicuum faſtigium ulterius ut ſuperaret
Emicantem: deinde inceſſit & attigit
Arachnæum cacumen, urbi vicinas ſpeculas:
Dein in hanc domum Atridarum inſiluit
Lumen hocce oriundum avito Idæo igne.
Tales veræ tedigerorum leges,
Aliæ ab aliis per vices impletæ:
Primas vero tenent primus & extremus curſor.
Indicium tale teſſeramque tibi enarro,
Viro prænuntiante e Troja mihi.

Chor. Diis quidem poſtea, mulier, ſupplicabo:
Hoſce autem audire ſermones & admirari
Continuo velim, itaque iterum dicas.

Clyt. Trojam Achivi hodie poſſident.
Exiſtimo clamorem inſociabilem in urbe emineré.
Acetum & oleum ſi infundas in vas idem,
Repugnantia, non amica (*eſſe duo illa*) dixeris.
Et eorum qui capti ſunt & eorum qui vicerunt ſeorſim
Voces audire licet eventus duplicis.
Illi enim circa corpora procumbentes
Virorum fratrum & patrum,
Pueri ſenum, non jam collo libero
Ingemiſcunt chariſſimorum (*parentum*) mortem.
Hos rurſus noctivagus e prælio labor
Jejunos ad optima eorum quæ habet civitas
Ordinat, ſecundum nullum per partes (*diſtributionis*) ſignum:
Sed prout unuſquiſque duxit fortunæ ſortem,
In captivis Trojanis ædibus
Modo habitant, ſubdiali a frigore
Et roribus liberati, utque infelices
Incuſtoditam dormient totam noctem.
Si vero pie colant deos urbis præſides
Illos victæ regionis, deorumque delubra,
Non ipſi cum prius ceperint poſtea capiantur.
Amor autem ne quis prius incidat exercitui (*opto*)

καπνόωσιν. ¶ 317. Ἀργείων αἶπος] ὄρος Ἄργους. ταῦθα ἡ ἐτυμολογία· ἐκ τῆ φύτλης ἡ γένες) Φυτάλιος, ἤγουν Φυτεσπόρος, ἢ μεταθέσει δὲ καὶ φωνίαν, Φυτάλμιος.

¶ 319. Οὐκ ἄπαστον] οὐ ξένον, ἀλλὰ συγγενές.

¶ 335. Φυταλμίαν] ἢ ἀπὸ τὸν Φυτάλμιον Δία ἐ-

Πεθεῖν ἃ μὴ χρὴ, κέρδεσιν ηκαμέτης.
Δεῖ γὰρ πρὸς οἴκους ηστίμε σατηρίας
Κάμψαι διαύλε θάτερον κῶλον πάλιν·
Θεσῖς δ' ἀκαμπλάκητος εἰ μόλοι στρατὸς,
Εγρήγορεν τὸ πῆμα τῶν ἀλωλότων
Γένοιτ' ἄν, εἰ πρόσπαια μὴ τύχοι κακά.
Τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύης·
Τὸ δ' εὖ κρατεῖν, μὴ δίχορρόπως ἰδεῖν.
Πολλῶν γὰρ ἐσθλῶν τὴν ὕπνον εἰλόμην.
Χο. Γύναι, κατ' ἄνδρα σάφρον' εὖφρόνως λέγεις.
Εγὼ δ' ἀκούσας πιστά σε τεκμήρια,
Θεοὺς προσιπτεῖν εὖ παρασκευάζομαι.
Χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνε.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ω Ζεῦ βασιλεῦ, καὶ νὺξ φιλία,
Μεγάλων κόσμων κτιάτειρα,
Ητ' ἐπὶ Τροίας πύργοις ἔβαλες
Στεγανὸν δίκτυον, ὡς μήτε μέγαι,
Μήτ' εὖν παρῶν τιν' ὑπερτελέσαι
Μέγα δουλείας
Γάγγαμον, ἄτης παναλώτε.
Δία τοι ξένιον μέγαν αἰδοῦμαι
Τὸν τάδε πράξαντ' ἐπ' Αλεξάνδρῳ,
Τείνοντα πάλαι τόξον, ὅπως ἀν
Μήτε πρὸ καιροῦ, μήθ' ὑπὲς ἄστραν
Βέλος ἠλίβατον σκήψειεν.

ΕΠΩΔΙΚΑ.

στροφὴ α.

Διὸς πλαγὰν ἔχουσ' εἰπεῖν,
Πάριστι τοῦτό γ' ἐξιχνεῦσαι
Ως ἔπραξεν, ὡς ἔκραπν.
Οὐκ ἔφα τὶς θεοὺς βροτῶν
Αξιοῦσθαι μέλειν
Οσοις ἀθίκλων χάρις

352. Διαύλε θάτερον] ἐπειδὴ ὁ δίαυλος δύο ἴχνη τες, δὲ λοιπὸν ἢ τὸ ἄλλον διελθόντα, ἢ ὑπενοεῖσαι πρὸς ταδίοις, ὧν τὸ ἕτερον διῆλθον ἤδη, εἰς Τροίαν ἀνελθόντων οἴκων. ¶ 355. Πρόσπαια] πρόσφατα· νῦν, σεμνο-

Ut cupiant quæ non oportet, lucris victi:
Opus enim esset ad domum reducis salutis
Ad flectendum alterum diauli crus.
Sin diis obnoxius redierit exercitus,
(*Ad vindictam*) vigil clades deperditorum
Foret, etiam fortuita non occurrerent mala.
Talia scilicet sunt quæ ego mulier sentio.
Hoc bene vortat, ne varium eventum videam.
Nam & inter multa bona quod optimum est eligerem.
Chor. Mulier, pro virili prudentia sapienter loqueris.
Ego vero audiens fida argumenta,
Deos salutare rite me accingam.
Gratia enim laborum non sine præmio impenditur.

ANAPÆSTI.

O Jupiter rex, & nox amica,
Magnorum ornamentorum domina,
Quæ Trojæ muris injecisti
Clausum rete, ita ut neque grandis (*natu*)
Neque quisquam junior supervaderet
Servitutis magnum everriculum,
Calamitatis nemini parcentis.
Magnum Jovem hospitalem veneror;
Utique qui hæc machinatus est adversus Parin,
Qui tendebat jamdiu arcum suum, ut
Neque ante tempus, neque ultra sidus
Jaculum irritum impingeret.

EPODICA.

Strophe 1.

Jovis plagam dicere possunt,
Hoc quidem pervestigare licet
Ut fecit, ut perfecit.
Negavit aliquis deos mortalium
Dignari curam gerere
Quibuscunque non-tangendorum gratia

περιπαίσαντα ἢ περιχρύσαντα αὐτοῖς. ¶ 362. Οὐκ 369. Γάγγαμεν] δίκινον. ¶ 372. Τόξον] ἤγουν ἡ ἄτιμος] τιμώμενοι ὃ οἱ θεοὶ ἠμείψαντο ἡμᾶς. ¶ τιμωρίαν, μεταφορικῶς. ¶ 380. Αθίκιαν] ἡ ἱερῶν. ¶ 382.

Πατοῖθ' ὁ δ' οὐκ εὐσεβής.
Πίφαυται δ' ἐγγόνως
Ατολμήτων Αρη πτεύντων
Μεῖζον ἢ δικαίως,
φλεύντων δωμάτων ὑπέρφευ
Υπὲς τὸ βίλτιστον. ἔτω δ' ἀπή-
μαντον, ὥστε κ' ἀπαρκεῖν
Εὖ πραπίδων λαχόντα.
Οὐ γάρ ἐστιν ἔπαλξις
Πλούτῳ πρὸς κόρον ἀνδρὶ
Λακτίσαντι μεγάλα δίκας
Βωμὸν, εἰς ἀφάνειαν.

ἀντιστροφὴ α.

Βιᾶται δ' ἀ τάλαινα πειθὼ,
Προβουλόπαις ἄφερτος, ἄτας.
Αχος δὲ παμμάταιον
Οὐκ ἐκρύφθη· πρέπει δὲ φῶς,
Αἰολαμπὲς σίτος.
Κακοῦ δὲ χαλκοῦ τρόπον,
Τρίβῳ τε καὶ προβολαῖς
Μιλαμπαγὴς, πέλει
Δικαιωθεὶς, ἐπεὶ
Διώκει παῖς πλατὺν ὄρπιν,
Πόλει πρόστριμμ' ἄφερτον ἐνθείς.
Λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν·
Τὸν δ' ἐπίστροφον τῶνδε
Φῶτ' ἄδικον καθαιρεῖ.
Οἷος καὶ Πάρις, ἐλθὼν
Ες δόμον τὸν Ατρειδᾶν,
Ησχυνε ξενίαν τράπε-
ζαν κλοπαῖς γυναικός.

στροφὴ β.

Λιποῦσα δ' ἀστοῖσιν ἀσπίστορας
Κλόνους λογχίμους τε καὶ
Ναυβάτας ὁπλισμοὺς,

¶ 382. Πίφαυται] οἱ θεοὶ, φησὶ, πίφαυται τὴν Αρη μείζω ἢ δικαίως τῶν δωμάτων τῶν ἀτολμήτων. φανερὸς ποιῶν τοὺς ὀκγόνους τῶν ἀτεβῶν τῶν πτεύντων ἤγουν, ὑπὲρ τὸ δίκαιον μαχομβίων τοῖς ἱεροῖς εἴκοις τῶν θεῶν.

Calcetur; at ille non eſt pius.
Sed res manifeſta facta eſt nepotibus
Inaudendum Martem ſpirantium
Majorem juſto,
Plenis ædibus ſupra (*heu!*)
Supra id quod optimum. Sit vero mihi
Innoxia ſors, ut contentus ſim
Recte ſapiendi compos:
Non enim propugnaculum
Divitiarum eſt viro præ petulantia
Conculcanti magnæ Juſtitiæ
Aram, ad interitum.

Antiſtrophe 1.

Aſt urget infelix Suada
Inſidiata liberis intoleranda mala.
Remedium autem omne irritum
Non latet; ſed emicat lux,
Grave-lucens noxa,
Et æris mali inſtar,
Attrituque & alliſionibus
Probatus vitioſus
Exiſtit, quoniam
Perſequitur puer avem volucrem,
Civitati attritionem intolerabilem immittens.
Preces vero audit deorum nullus;
Sed horum authorem
Hominem injuſtum tollit.
Qualis & Paris, veniens
In dōmum Atridarum,
Dehoneſtavit hoſpitalem menſam
Furto mulieris.

Strophe 2.

Illa vero relinquens civibus clypeales
Haſtileſque turbas &
Navales armaturas,

θεῶν. ¶ 393. Παῖδ᾽] τ᾽ δ᾽ ἄτης παῖδα ἄφιστον τινα, δῆλον, ὃ πλυτίσαι τὰς παῖδας πειμῴην. ¶ ἡ ἀφόρητος ἡ βαρεῖα ἐστιν, ἥτις βιάζεται ἀνθρώπους, πρὸ- 397. Σὺν] τοῦτ᾽ ἔστι, σὺλας.

Αγυιὰ τ' ἀντίφερτον
Ιλίῳ φθορὰν,
Βέβακεν ῥίμφα διὰ πυλᾶν,
Ατλητα τλᾶσα· πολὺ δ' ἔστυγον
Τόδ' ἐπίπονοι δόμων προφῆται.
Ιὼ, ἰὼ δῶμα, δῶμα καὶ πρόμοι,
Ιὼ λέχος καὶ στίβοι φιλάτορες.
Πάριστι σιγᾶσ', ἄτιμος, ἀλοίδορος,
Αδίκως, ἀφεμίναν, ἰδεῖν.
Πέθῳ δ' ὑπὲς ποντίας
Φάσμα δόξυ δόμων ἀτάσσων.
Εὐμόρφων γὰρ κολοσσῶν
Εχθεται χάρις τἀνδρί.
Ομμάτων δ' ἐν ἀχηίαις
Ερρει πᾶσ' Αφροδίτα.

ἀντιστροφὴ β.

Ονειρόφαιται δὲ πεπθήμονες
Πάρεισι δόξαι φέρουσαι χάριν ματαίαν.
Μάταν γὰρ εὖτ' ἂν
Εσθλά τις δοκῶν ὁρᾷ,
Παραλλάξασα διὰ χερῶν,
Βέβακεν ὄψις οὐ μεθύστερον
Πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις.
Τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη,
Τάδ' ἐστὶ, καὶ τῶνδ' ὑπερβατώτερα.
Τὸ πᾶν δ' ἀφ' Ελλάδος αἴας συνορμίσεις
Πέπθεια τλησικάρδιος
Δόμων ἑκάστου πρέπει.
Πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ·
Οὓς μὲν γὰρ ἔπεμψεν οἶδεν·
Αντὶ δὲ φωτῶν τεύχη
Καὶ σποδὸς εἰς ἑκάστου τοὺς
Δόμους εἰσαφικνεῖται.

¶ 414. Αντίφερτον] ἴσον, ἀντὶ πρωικὸς φθορᾶ τοῦ σιγᾶν, τοῦτ' ἔστι, καὶ παρίησιαζομένων, καὶ ῥᾳδίαν καὶ ἀπώλειαν κομίσασαν. ¶ 422. Αφεμίναν] φθεγγομένων τι δίχα τὸ μὴ παρεῖναι τὴν δέσποιναν, ἀφεμίναν ἡμῶν τῆς σιγῆς· ὃ ἐστι, καὶ· ἀφεσμένων ὅμως τῇ παλαιᾷ αἰδοῖ σώζομεν αὐτῆς τὴν παρουσίαν,

Adducens loco dotis
Ilio exitium,
Tranſiliit raptim per portas,
Non audenda auſa; multum vero ingemuerunt
Compellantes hanc domum vates.
Heu! heu domus, domus & domini!
Heu lectus & cubilia viri-amantia!
Adeſt ſilentium rumpentibus nobis inhonora, non audens conviciari,
Viſu ſuaviſſima.
Deſiderio vero tranſmarinæ
Spectrum videbitur ædium dominis.
Specioſarum enim ſtatuarum
Inviſa eſt gratia viro.
Oculorum autem in vacuitatibus
Abiit Venus omnis.

Antiſtrophe 2.

In ſomniis autem occurrentes luctuoſæ
Præſto ſunt apparitiones
Afferentes gratiam vanam.
Vanum enim cum quis
Bona videre videatur,
Elapſum inter manus,
Abiret viſum haud ita poſt
Cum pennis ſequentibus ſomni ſemitas.
Moleſtiæ quidem domeſticæ ad ipſos lares
Hæ ſunt, & his graviores.
Univerſim autem a Græcia ſimul profectis
Luctus tabificus
In domibus cujuſque urget.
At multa certe attingunt jecur:
Quos enim emiſit, novit;
Pro ipſis autem viris arma
Et cinis in ædes
Cujuſque redeunt.

σῖαν, καὶ πάρεστιν ἡμῖν ἰδεῖν ἐδίστη, καὶ πολύτι- 439. Συνεμίσους] τῶν συνηγμένων ἀπὸ τῆς Ελλάμμ, καὶ ἀλοιδορῶ. ἤγουν, νομίζομεν ἔτι συνεῖναι δὲ ἀπάντων ἐκεῖσε τοῖς οἴκοις ὀδυνηρὰ πυνθάνεσθαι ἡμῖν ἀντὶ, καὶ τῆς παρ' ἡμῶν τιμῆς ἀπλανέν. ¶ διατίπτει.

στροφὴ γ.

Ο χρυσαμοιβὸς δ' Αρης σωμάτων,
Καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς,
Πυρωθὲν ἐξ Ιλίου
Φίλοισι πέμπει βαρὺ
Ψῆγμα δυσδάκρυτον
Αντήνορος σποδοῦ
Γεμίζων τοὺς λέβητας ἐυθέτους.
Στένουσι δ' εὖ λέγοντες ἄνδρα,
Τὸν μὲν, ὡς μάχης ἴδρις·
Τὸν δ', ἐν φοναῖς καλῶς πεσόντ' ἀλ-
λοτρίας διὰ γυναικός.
Τάδε σῖγά τις βαύζει.
Φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει
Προδίκοισιν Ατρείδαις.
Οἱ δ' αὐτοῦ περὶ τεῖχος
Θήκας Ιλιάδος γᾶς
Εὐμενεῖ κατέχουσιν·
Εχθρὰ δ' ἴσχοντας ἔκρυψεν.

ἀντιστροφὴ γ.

Βαρεῖα δ' ἀστῶν φάτις σὺν κότῳ.
Δημοκράτου δ' ἀρᾶς τίνει χρέος.
Μένει δ' ἀκοῦσαί τι μοῦ
Μέριμνα νυκτηρεφές.
„Τῶν πολυκτόνων γὰρ
„Οὐκ ἄσκοποι θεοί.
„Κελαινὰ δ' οὖν ἐρινύες χρόνῳ
„Τυχηρὸν ὅτ' ἄνευ δίκας,
„Παλιντυχῆ τριβᾷ βίου
„Τιθεῖσ' ἀμαυρὸν, ἐν δ' ἀίστοις
„Τιλίβοντος οὔτις ἀλκά.
„Τὸ δ' ὑπερκότως κλύειν εὖ,
„Βαρὺ βάλλεται γὰρ ὄσσως
„Διόθεν κεραυνός.
Κρίνω δ' ἄφθονον ὄλβον.
Μήτ' εἴην πταλιπόρθης,

¶ 456. Αλλοτρίας] ὅτι δι' ἀλλοτρίαν ἀπώλλυτο γυναῖκα, σιωπηλῶς βοᾷ μετὰ ὀργῆς, δίκην κυ-

Strophe 3.

Mars autem excambiator corporum;
Et libripenſor haſtæ in certamine,
Uſtulatum ex Ilio
Ad amicos mittit grave
Ramentum lacrymabile
Cineris viri vicem explentis,
Implens urnas feſtiles.
Lugent vero laudantes viros,
Hunc quidem, quod fuerit pugnæ ſciens;
Hunc vero, quod inter ſtrages honeſte procubuerit
Ob uxorem alterius.
Hæc quis ſilenter muſſitat.
Invidioſus autem ſubrepit dolor
Vindicibus Atridis.
Alii vero ibidem ſub muris
Loculos Trojanæ terræ
Specioſi juvenes occupant;
Hoſtilis autem (*terra*) occupantes occulit.

Antiſtrophe 3.

Gravis autem civium rumor cum invidia,
Popularis imprecationis ſolvit debitum.
Expectat autem audire
Mea ſollicitudo aliquid occultum:
„Multarum enim cædium authorum
„Non ſunt incurioſi dii.
„Sed nigricantes furiæ tandem
„Eum qui præter fas fortunatus eſt
„Contraria conditione vitæ
„Reddunt obſcurum, inter obſcuros autem
„Exiſtentis nulla vis.
„Bene autem audire cum invidia populi,
„Grave eſt; injicitur enim oculis
„De cœlo fulmen.
Ego autem eligo divitias non invidendas.
Neque ſim urbium expugnator,

νές. ¶ 461. Τείχω] ὁ ἐκπίπτων ἐκ τῆ Τροίᾳ. τὸ δ' ἐνμορφοι, ἀντὶ τοῦ πλείονα εἴκοσιν ἀντὶ εἰκοσάβίβλων δὲ, αὐτῆς τῆς Τροίας τὸ τεῖχος, εἰπεῖν. κτλ.

Μήτ' οὖν αὐτὸς ἁλοὺς
Ὑπ' ἄλλων βίον κατίδοιμι.

ἐπῳδός.

Πυρὸς δ' ὑπ' εὐαγγίλου τὴν πόλιν
Διήκει θοὰ ῥάξις·
Εἰ δ' ἐτητύμως,
Τίς οἶδεν; ἤτοι θεῖόν ἐστι μὴ ψύθος.
Τίς ἀδὴ παιδὸς, ἢ φρενῶν κεκομμένος,
Φλογὸς παραγγέλμασι
Νέοις πυρωθέντα καρδίαν,
Επτυ' ἀλλαγᾷ λόγους
Καμεῖν; ἐν γψαικὸς αἰχμᾷ,
Πρέπει, πρὸ τοῦ φανέντος
Χάριν ξυναιρέσαι.
Πιθανὸς ἄγαν ὁ θῆλυς ὄρος
Επιέμεται ταχύπορος.
Αλλὰ ταχύμορον
Γυναικοκήρυκτον ὄλλυται κλέος.

ΙΑΜΒΟΙ.

Κλ. Τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων
φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγὰς,
Εἴτ' οὖν ἀληθεῖς, εἴτ', ὀνείρατων δίκην,
Τερπνὸν τόδ' ἦλθον φῶς ἐφήλωσε φρένας.
Κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον
Κλάδοις ἐλαίας· μαρτυρεῖ δέ μοι κάσις
Πηλοῦ ξύνεδρος δι-ψία κόνις τάδε,
Ὡς οὔτ' ἄναυδος, οὔτέ σοι δαίων φλόγα
Ὑλης ὀρείας, σημανεῖ καπνῷ πυρός.
Αλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λίγων·
Τὸν αἰτίον δὲ τοῖσδ' ἀποστέργω λόγων·
Εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι.
Χο. Οστις τάδ' ἄλλως τῇδ' ἐπεύχεται πόλει,
Αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν.
Κή. Ιὼ πατρῷον οὖδας Αργείας χθονός.
Δεκάτῳ σε φέγγει τῷδ' ἀφικόμην ἔτους,

¶ 486. τύθω] τὸ ψύθω συνειχον τῷ ψεύ- τὸ, θ, δῆλον. παρεῦπέκειται δὲ τὸ ψεῦδω. ¶ δει, ὡς καὶ τὸ ψυδρόν. ἔτι δὲ συγγενῆ τὸ, δ, καὶ 494. Ο θῆλυς ὄχθω] ἄγων, ἀλεξανδρικῶς, ἢ γν-

Neque ipſe captus
Sub aliis vitam degam.

Epodus.

Cæterum ex igne felix nuntium afferente
Urbem pervadit velox rumor;
An autem vere,
Quis novit? certe Deus eſt non mendax.
Quis ita eſt ſtolidus, vel mente læſus,
Ut flammæ ſignis recentibus
Accenſus animo
Mox ad triumphum orationem
Meditetur? in mulieris imperio
Convenit ante rem manifeſtatam
Congratulari.
Credulum valde muliebre judicium
Serpit celeriter-iens.
Sed brevi durans
Fœminæ præconio celebrata perit fama.

IAMBI.

Clyt. Mox ſciemus lampadum luciferarum
Signorumque per faces & ignis vices,
An veræ ſint, an, ſomniorum inſtar,
Gratum veniens illud lumen eluſerit animum noſtrum.
Præconem hunc a littore video obumbratum
Ramis olivæ: teſtatur autem hæc mihi frater
Luti ſocius aridus pulvis,
Quod neque mutus, neque accendens facem
Materiæ montanæ ſigna dabit per fumum ignis.
Sed vel ut magis lætemur verbis hortabitur.
His autem contrarium averſor ſermonem;
Bene enim ad ea quæ feliciter apparuerunt fiat acceſſio.
Chor. Qui hæc aliter exoptat huic civitati,
Ille erroris animi ſui fructum ferat.
Præ. Io paternum ſolum Argivæ terræ!
Decimo hoc anni lumine ad te veni,

ἢ ὡς ταυτὸν ὂν γυναῖκα εἰπεῖν, καὶ ὄρον αὐτῆς ἐκ- χίως φθειρόμενον, καὶ οὐκ ἄλλο πολὺ διαμένον. ¶ θεῖναι. ¶ 497. Γυναικοκήρυκτον] τὸ φημιζόμενον 513. Δικαίᾳ] τινὶς μέμφονται τῷ ποιητῇ, ὅτι ἀ- ἀγαθὸν ὑπὸ γυναικῶν, ἀνύπαρκτόν ἐστι, καὶ τα- θημερὸν ποιεῖ τὸν Ἕκλωνα ἥκοντα.

¶ 514.

Πολλῶν ῥαγισῶν ἐλπίδων, μιᾶς τυχών.
Οὐ γάρ ποτ' ἤυχουν τῇδ' ἐν Ἀργείᾳ χθονὶ
Θανὼν μεθέξειν φιλτάτης τάφου μέρος.
Νῦν χαῖρε μὲν χθών, χαῖρε δ' ἡλίου φάος,
Ὑπατός τε χώρας Ζεύς, ὁ Πύθιός τ' ἄναξ,
Τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη·
Ἅλις παρὰ Σκάμανδρον ἦλθες ἀνάρσιος·
Νῦν δ' αὖτε σωτὴρ ἴσθι καὶ παγώνιος,
Ἄναξ Ἀπολλον. τοὺς τ' ἀγωνίους θεοὺς
Τὸν ὁμοδέμνιον πόσιν
Λυτροῖσι Φοιβάσασα; πῶς φράσω τέλος;
Τάχος γὰρ τόδ' ἴσται. προτείνει δὲ χεὶρ ἐκ
Χειρὸς ὀρεγομένα.

ἴαμβοι.

Χο. Οὔπω ξυῆκα· νῦν γὰρ ἐξ αἰνιγμάτων
Επαργέμοισι θεσφάτοις ἀμηχανῶ.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

στροφὴ α.

Κα. Ε, ἒ, παπαῖ, παπαῖ, τί τόδε φαίνεται;
Η δίκτυόν τι γ' ἅιδου;
Αλλ' ἄρχυς ἡ ξύνευνος, ἡ ξυναιτία
φόνου. στάσις δ' ἀκόρεστος γένει
Καταλολυξάτω θύματος λευσίμου.

¶ 1108. Προφήτας ὕστινας] τὰς λίξοντας ἡμῖν θυίσιν. ¶ 1120. Χειρὸς ὀρεγομένα] διαδέχονται ἢ τελεῖ σύ. αὐτοὶ γὰρ αὐτόπται γινόμεθα. ¶ 1112. ἀλλήλως τοῖς ὀρέγμασι τῶν χειρῶν Αἴγιλ. & ἢ Κλυταιμνήστρα τυφλοῖς καὶ ἀείμοις,

Iambi.

Chor. Audivimus gloriam tuam fatidicam,
Audivimus, nec vates ullos quærimus.

Strophe 2.

Caſan. Heu, proh dii! quid tandem molitur?
Quænam hæc nova magna miſeria
Magnum in hiſce ædibus molitur malum
Amicis intolerabile, immedicabile; robur autem (*i. e. ultorem*)
Longe ablegat?

Iambi.

Chor. Iſtorum inſcius ſum vaticiniorum:
Hæc vero cognovi; tota enim clamat civitas.

Antiſtrophe 2.

Caſan. Heu, miſera! hoccine efficis,
Maritum conſortem tori
Poſtquam balneis foviſti? quomodo enarrem exitum?
Cito hoc peragetur: extenditur manus
Poſt manum appetens (*feriendi.*)

Iambi.

Chor. Nondum intellexi; adhuc enim præ ænigmatum
Oraculis obſcuris hæſito.

ANTISTROPHICA.

Strophe 1.

Caſan. Heu! heu! papæ! papæ! quid hoc apparet?
Num rete quoddam Orci?
Quam potius rete eſt conſors tori, concors cauſa
Cædis? ſimultas inexplebilis erga hoc genus
Exululet victimæ morti deſtinatæ ergo.

ἀχήμους, ἀπὸ τῶν λευκώματα ἐχόντων ὀφθαλμῶν. σις, φησὶν, ἐκολούξαι μέλλει ἐπὶ τῇ λαμπρᾷ Κλυ- ¶ 1123. Τί τόδε] φαντάζει τὸν χιτῶνα. ¶ ταιμνήστρᾳ, νίκα ἐπόληται. παρὰ τὸ, — αἱ γ 1125. Ἡ ξύνευνος] ἡ γυνὴ τοῦ Ἀγαμέμνονος αἰ- ὀλόλυξαν θυγατέρες τε τυαί τε καὶ αἰδοίη παρα- τία ἴσως τοῦ φόνου. ¶ 1126. Στάσις] ἡ σύ- κοιτις.

στροφὴ β.

Χο. Ποίαν ἰριπὺν τήνδε δώμασιν κέλη
Επορθιάζειν; οὔ με φαιδρύνει λόγος.
Επὶ δὲ καρδίαν ἔδραμε χροκοβαφὴς
Σταγών, ἅτε καὶ δορίᾳ πτώσιμος
Ξυναυτεῖ βίᾳ δύντος αὐγαῖς.
Ταχεῖα δ' ἄτα πέλει.

ἀντιστροφὴ α.

Κα. Α, ἆ· ἰδοὺ, ἰδού· ἄπιχε τῆς βοὸς
Τὸν ταῦρον· ἐν πέπλοισιν
Μελάγκειραν λαβοῦσα μηχανήματι
Τύπτει· πίπτει δ' ἐνύδρῳ τεύχει.
Δολοφόνου δὲ λέβητος τύχαν σοὶ λέγω.

ἀντιστροφὴ β.

Χο. Οὐ κομπάσαιμ' ἂν θεσφάτων γνάμαν ἄκρος
Εἶναι, κακῷ δέ τῳ προσεικάζω τάδε.
Ἀπὸ δὲ θεσφάτων τὶς ἀγαθὰ φάτις
Βροτεῖσι στέλλεται· κακᾶν γὰρ δὴ 'αἱ
Πολυπτεῖς τέχναι θεσπιῳδὸν
Φόβον φέρουσι μαθεῖν.

στροφὴ γ.

Κα. Ἰὼ, ἰὼ, ταλαίπας κακόποτμοι τύχαι.
Τὸ γὰρ ἐμὸν θρῳῶ πάθος ἐπαγχίασα.
Ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες;
Οὐδέποτ' εἰ μὴ ξυθανουμένην. τί γάρ;

στροφὴ δ.

Χο. Φρενομανὴς τις εἶ θεοφόρητος, ἀμ-
φὶ δ' αὑτᾶς θρεῖς
Νόμον ἄτομόν γε, οἷά τις ξυθὰ

¶ 1128. Κίλη] ἀντὶ δ', λέγης. ¶ 1129. Οὔ με φαιδρύνει] ἐ εισαφλώσει. ¶ 1131. Σταγὼν] τὸ αἷμα. ¶ 1132. Βίᾳ δύντος] συμπληρῶται δ' βίᾳ δύντος. ἢ αὐγαῖς σκ, μηκέτι ἐ αὐτος ἢ αὐγαῖς. ¶ 1134. Απιχε τ' βοὸς] τίς ἂν ὑποπήσειεν αὐτῆς τ' Αγαμέμνονα ὅπως ἂν μὴ ὑποπέσῃ; ¶ 2136. Μελάγκειραν] τ' μελαγκείρων ταῦρον λαβοῦσα, τῷ μηχανήματι τῷ δι' ἃ πίπλων τύπτει· ἰὼ ὦ γεγέσθω, μελαγκείρων μηχανήματι τύπτει, ἀντὶ δ' κεκρυμμένην. Αλλως. τ' μελαγκείρων βοός. ¶ 1139. Οὐ κομπάσαιμ' ἂν] σὺ ἀλαζονεύσομαι μάντις ἄκρος θεσπιῳδῶν θεσφάτων· ἐμοὶ ὦ εοικάζομαί τι κακὸν ὑποθήσεσθ. ¶ 1141. Αγα-θὰ

Strophe 2.

Chor. Qualem hancce furiam per ædes jubes
Altum clamorem tollere? haud me ſerenat ſermo.
Sed adverſus cor cucurrit crocopallore
(*Sanguine*) ſtilla, qualis bello cadentes
Comitatur in occaſu vitæ (*oculorum*) radios.
Subita calamitas exoritur.

Antiſtrophe 1.

Caſan. Heu! heu! ecce, ecce! cohibe a vacca
Taurum: veſtibus involvens
Nigricornem machina
Percutit; cadit vero in aquali vaſe.
Inſidioſæ lebetis caſum ut intelligas velim.

Antiſtrophe 2.

Chor. Haud glorier oraculorum ſummus eſſe
Interpres, malo autem alicui hoc adſimilo.
Ex oraculis quidem bonus aliquando nuntius
Mortalibus advenit. At malorum
Annoſæ artes vatum
Metus afferunt ſenſum.

Strophe 3.

Caſan. Heu! heu miſeræ infelices fortunæ!
Meum enim admiſcens fatum lamentor.
Quid me huc miſeram duxiſti?
Non ob aliud niſi commorituram. quorſum enim?

Strophe 4.

Chor. Lymphatica es numine incita,
Et de teipſa profers
Cantum infauſtum, ſicut delicata quædam luſcinia

θὰ φάτις] γνωμολογῶν φησι τοῦτο· εἰ δὲ γὰρ ἡ ἐπ' ἀγαθοῖ οἱ χρησμοὶ γίνοιντο, ὡς ἦ ὅτι τὸ πολὺ μεχθημὰ χρησμῳδοῦσιν. ἢ τὸ ὅλον ὅτι τῷ χρησμῷ Καταίδεμαι· ὅτε τύπων ἕτ θεσπισμάτων τὶς ἀγαθὴ φάτις γίνοι θροτοῖς τοῖς ἐγχωρίοις. ¶ 1142. Κᾶτα γὰρ] δῆλ τὰ παρόντα κακὰ τοῖς αἰσχεμβύοις, ἢ τὰ λεγόμενα, φανερά. ¶ 1144. φέρω φέρουσι μαλεὶ] παρὰ τὸ λεγόμενον, Οὐδεὶς τύπτης πρὸς μάντιν ἀπίεχθῆ. ¶ 1145. Παθὼν ἐπαγχίασα] συναναμίξασα τῷ ἐμ Ἀγαμέμνονι ἢ συγκεράσασα. ¶ 1148. Τί γὰρ] τί γὰρ ἄλλο. ¶ 1149. Ἀμφὶ δ' αὐτᾶς] περὶ σεαυτῆς ἄτοπα φθέγγη. ¶ 1151. Νόμου ἄτερμον] φόβου ἀπέρ κιθαριστικὸν ἢ νόμον φησὶ τὸ ἰδῆς, θρῆνεῖ νόμον ἄτερμον ἀμφιθαλῆ κακοῦ.

Ἀκόρεστος βοᾶς, φιλοίκτοις ταλαίναις φρεσὶν
Ἰτυν Ἰτυν στένουσ' ἀμφιθαλῆ κακοῖς
Ἀηδὼν βίον.

ἀντιστροφὴ γ.

Κα. Ἰὼ, ἰὼ, λιγείας ἀηδόνος μόρον· 1155
Περιβάλοντο γάρ οἱ πτεροφόρον δέμας
Θεοὶ, γλυκύν τ' αἰῶνα κλαυμάτων ἄτερ·
Ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορί.

ἀντιστροφὴ δ.

Χο. Πόθεν ἐπισσύτους θυοφόρους τ' ἔχεις
Ματαίους ὁδούς, 1160
Τὰ δ' ἐπιφόβῳ δυσφάτῳ κλαγγᾷ
Μελοτυπεῖς, ὁμοῦ τ' ἐχθίοις ἐν τύχαις;
Πόθεν ἔρους ἔχεις θεσπίας ὁδοῦ
Κακορρήμονας;

στροφὴ ε.

Κα. Ἰὼ γάμοι, γάμοι Πάριδος ἀλέθριοι 1165
φίλαι. ἰὼ Σκαμάνδρου πάτριοι ποταί.
Τότε μὲν ἀμφὶ σὰς ἀϊόνας τάλαινα
Ηνυτόμαν τροφαῖς·
Νῦν δ' ἀμφὶ Κωκυτόν τε καὶ χερουσίους
Οχθους ἔοικα θεσπιῳδήσειν τάχα. 1170

στροφὴ ϛ.

Χο. Τί τόδε τερὰς ἄγαν ἔπος ἐφημίσω,
Νεογιὸς ἀνθρώπων μάτα.
Πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίῳ,
Δυσαλγεῖ τύχᾳ μιυρὰ κακὰ θρεομένας,
Θραύματ' ἐμοὶ κλύειν. 1175

ἀντιστροφὴ ϛ.

Κα. Ἰὼ πόποι, πόποι πόλεως ὀλωμένας
Τὸπαν. ἰὼ πρόπυργοι θυσίαι πατρὸς
Πολυκαπεῖς βοτῶν ποιμόμων ἄκος
Δ' οὐδὲν ἐπήρκεσαν,

¶ 1154. Ἀηδὼν] τοῦτο ἀδιαφόρως τῇ μεταμορφώσει τοῦ. Κλαυμάτων ἄτερ] ἢ ὅτι ἀεὶ ἐν ᾄσμασι ὄντα θρηνῶν, ἢ ἀηδόνος φησίν. ¶ 1157. Αἰῶνα] γράφεται καὶ φωνὴν, ἣν ἡ θρῆνος. ¶ 1161. Δυσφάτῳ κλαγγᾷ]

Indefeſſa voce, luctuoſa miſera mente
Ityn Ityn lugens per pullulantem malis
Vitam.

Antiſtrophe 3.

Caſan. Heu! heu! argutæ luſciniæ fatum (*mihi tribuis:*)
Ei enim circumdederunt plumis corpus
Dii, vitamque dulcem ſine luctibus (*conceſſerunt;*)
Me autem manet laceratio telo ancipiti.

Antiſtrophe 4.

Chor. Unde ingruentes ac divinitus illatas habes
Inanes anxietates,
Hæc perterrifica clangore infami
Modularis, & ſimul cum cantibus acutis?
Unde præcepta divinatricis artis habes
Tam male-ominantia?

Strophe 5.

Caſan. Heu nuptiæ, nuptiæ Paridis exitiales
Amicis! eheu Scamandri patria unda!
Olim juxta tuas ripas miſera
Adoleſcebam alimentis;
Nunc vero circa Cocytum & Acheruſias
Ripas videor mox vaticinatura.

Strophe 6.

Chor. Quid hoc verbum ſit quod tam clare protuliſti
Vel nuper editus infans intelligere poſſit.
Perculſus vero ſum timore cruento,
Dolenda fortuna querula mala lamentantis,
Quæ me auditu vulnerant.

Antiſtrophe 5.

Caſan. Eheu labores, labores civitatis prorſus
Perditæ! eheu antemœnialia ſacrificia patris,
Quæ multos jugularunt pecudes paſcuarias! remedium autem
Nullum protulerunt,

γᾶ] ἀναφεῖ, αἰνιγματώδη. ἢ δῆξ τὸ δυσυχῆ μαντικὰς. ¶ 1163. Θεσπίσι] τὰ μαντικὰ. ¶ 1168. πύνθαι, ἢ διὰ τὸ πεπεῖσθαι τὰ δεινὰ ἀναφεῖ. Πυτόμαν] πύθομαι.

Τὸ μὴ πόλιν μὲν ὥσπερ οὖν ἔχει παθεῖν.
Ἐγὼ δὲ θερμὸνους τάχ' ἐμπέδῳ βαλῶ.

ἀντιστροφὴ γ'.

Χο. Ἐπόμενα προτέροις τάδ' ἐφημίσω.
Καὶ τίς σε καὶ κακοφρονεῖν
Τίθησι δαίμων ὑπερβαρὴς ἐμπιτιῶν,
Μιλίζειν πάθη χειρὶ θανατοφόρα;
Γέρμα δ' ἀμηχανῶ.

ΙΑΜΒΟΙ.

Κα. Καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων
Ἔσται δεδορκὼς, ἡγάμην τύμβας δίκην·
Λαμπρὸς δ' ἔοικεν ἠλίῳ πρὸς ἀντολὰς,
Πέμπων ἐσήξειν ὥστε κύματος δίκην
Κλύδωνα πρὸς αὐγὰς τοῦδε πήματος πολὺ
Μεῖζον· φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων.
Καὶ μαρτυρεῖτε συνδρόμως ἕπος κακῶν
Ῥικλατούσης τῶν πάλαι πεπραγμένων.
Τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς
Σύμφθογγος, οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.
Καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον,
Βρότειον αἷμα κῶμος ἐν δόμοις μένει,
Δύσπεμπτος ἔξω συγγόνων ἐριπύων.
Ὑμνοῦσι δ' ὕμνον δώμασι προσήμενοι
Πρώταρχον ἄτην· ἐν μέρει δ' ἀπέπτυσαν
Εὐνὰς ἀδελφοῦ τῷ πατοῦντι δυσμενεῖς.
Ἥμαρτον, ἢ θηρῶ τι τοξότης τὶς ὡς;
Ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων;
Ἐκμαρτύρησον προυμόσας τὸ μ' εἰδέναι
Λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων.
Χο. Καὶ πῶς ἂν ὅρκος πῆμα γοναίας παγὲν
Παιώνιον γένοιτο; θαυμάζω δέ σε,
Πόντιον πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν,
Κυρεῖν λέγουσαν ὥσπερ εἰ παρεστάτεις.
Κα. Μάντις μ' Ἀπόλλων τῆσδ' ἐπέστησεν τέλει.
Πρὸς τοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.
Χο. Μῶν καὶ θεός τις ἱμέρῳ πεπλημμένος;
Ἁβρύνεται γὰρ πᾶς τις εὖ πρόσσων πλέον.
Κα. Ἀλλ' ἦν παλαιστὴς, κἀρτ' ἐμοὶ πίων χάρις.

Quominus urbs ita affecta eſſet ut eſt.
Ego vero calorem (*vitalem*) in ſolum effundam cito.

Antiſtrophe 6.

Chor. Conſentanea prioribus hæc locuta es.
Quiſnam te furere
Dæmon facit prægravis irruens,
Ita ut modulere paſſiones luctuoſas mortiferas?
Quis autem terminus erit ignoro.

IAMBI.

Caſan. Atqui oraculum non amplius per velamina
Vos aſpiciet, novæ nuptæ inſtar:
Quin clarum præ oriente Sole videtur,
Spirans ſe illaturum ut inſtar fluctus
Audiatis clare hoc malo malum multo
Majus. Docebo autem vos jam non per ænigmata.
Et vos mihi teſtimonium perhibete, eodem curſu veſtigium malorum
Subodoranti quæ antehac perpetrata ſunt.
Hoc enim tectum nunquam deſeret grex (*furiarum*)
Conſona, ſed non ſuaviſona; non enim fauſta loquitur.
Et jam inebriatus, quo audentior evadat,
Humano Comus cruore domi manet,
Ægre ſeparandus a cognatis diis furialibus.
Hymnum autem illæ canunt adhærentes ædibus
Principialem noxam; viciſſim quoque deſpuerunt
Infenſæ in eum qui lectos fratris conculcaverit.
Aberravine, an ſcopum attingo veluti ſagittarius?
An ſum quaſi vates falſus, januarum pulſator nugax?
Teſtare verbis præjurans quod ipſa ſciam
Antiqua harum ædium piacula.

Chor. At quinam juramenti compages valide pacta
Emolumento erit? te vero miror,
Trans mare educatam in urbe aliena lingua utente,
Poſſe loqui ac ſi hic præſens adfuiſſes.

Caſan. Apollo vates me hunc deſtinavit muneri:
Ante quidem pudor mihi erat hæc loqui.

Chor. Nunquid, Deus licet, amore percitus?
Nam unuſquiſque feliciter agens luxuriatur magis.

Caſan. Quin procus fuit meæ valde inhians formæ.

Χο. Η καὶ τέκνων εἰς ἔργ' ἦλθετον νόμῳ;
Κα. Ξυναπέσασα λοξίαν ἐψευσάμην.
Χο. Ἡδὴ τέχναισιν ἐνθίας ἡρκμένη;
Κα. Ἡδὴ πολίταις πάντ' ἐπίσπιζον πάθη.
Χο. Πῶς δῆτ' ἄιακτες ἔσθα Λοξίᾳ κότῳ.
Κα. Ἐπιβᾶσ' οὐδὲν οὐδέν, ὡς τάδ' ἤμπλακον.
Χο. Ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.
Κα. Ἰοὺ, ἰοὺ, ὦ ὦ κακά.
Ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος
Στροβεῖ, ταράσσων φροιμίοις ἐφημίοις.
Ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους
Νέους, ὀπίσω πρόσφατοι μορφώμασιν;
Παῖδες θανόντες ὡσπερεὶ πρὸς τῶν φίλων,
Χεῖρας χρεῶν πλήθοντες οἰκείας βορᾶς,
Σὺν ἐντέροις τε σπλάχν', ἀποίκτιστον γέμος,
Πρέπουσ' ἔχοντες, ὧν πατὴς ἐγεύσατο.
Ἐκ τῶνδε ποιάς φημι βουλεύειν τινὰ
Λέοντ' ἄπαλκιν ἐν λέχει στρωφώμενον
Οἰκουρὸν, οἴμοι, τῷ μολόντι δεσπότῃ
Ἐμῷ. Φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν.
Νεῶν τ' ἔπαρχος Ἰλίου τ' ἀναστάτης
Οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς
Λέξασα, καὶ κτείνασα φαιδρόνους, δίκην
Ἀτης λαθραίου, τεύξεται κακῆ τύχῃ.
Τοιαῦτα τολμᾷ θῆλυς· ἄρσενος φονεύς
Ἐστιν. τί νιν καλοῦσα δυσφιλὴς δάκος,
Τύχοιμ' ἄν; ἀμφίσβαιναν, ἢ Σκύλλαν τινὰ
Οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην,
Θύουσαν ᾅδου μητέρ', ἄσκυδόν τ' ἀρὰν
Φίλοις πνέουσαν; ὡς δ' ἐπωλολύξατο
Ἡ παντότολμος, ὥσπερ ἐν μάχης τροπῇ.
Δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ.
Καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω, τί γάρ;
Τὸ μέλλον ἥξει. καὶ σὺ μὴν τάχει παρὼν,
Ἄγαν γ' ἀληθόμαντιν, οἰκτίρας, ἐρεῖς.
Χο. Τὴν μὲν Θυέστου δαῖτα παιδίων κρεῶν
Ξυῆκα καὶ πέφρικα· καὶ φόβος μ' ἔχει,
Κλύοντ' ἀληθῶς οὐδὲν ἐξεικασμένα.
Τὰ δ' ἄλλ' ἀκούσας, ἐκ δρόμου πεσὼν τρέχω.
Κα. Ἀγαμέμνονός σέ φημ' ἐποψίσθαι μόρον.

Chor. An ad liberorum opus convenisti lege?
Casan. Postquam assensissem, Apollinem fefelli.
Chor. Num quando jam artibus entheis imbuta esses?
Casan. Immo jam civibus omnia prædixeram mala.
Chor. Quomodo igitur regi Loxiæ eras in odio?
Casan. Nulli persuasi quicquam postquam ita deliqueram.
Chor. Nobis tamen videris fide digna vaticinata esse.
Casan. Heu, heu! proh! proh mala!
Me rursus gravis prophetiæ labor
Exagitat, procœmiis conturbans infaustis.
Videtin' hosce insidentes ædibus
Juvenes, somniorum spectris similes?
Pueri mortui quasi ab amicis,
Manus implentes cibo proprio carnium,
Cumque intestinis viscera, ferculum miserabile,
Apparent habentes, quæ degustavit pater.
Propter hæc aliquem dico meditari pœnas
Leonem imbellem in lecto versantem
Domi-desidem, hei mihi! reduci hero
Meo; (*hero*, *inquam*) nam necesse est ut servile feram jugum.
Navium præfectus, Ilii everſor,
Haud novit qualia lingua execrandæ canis
Dicens, & interficiens animo sereno,
More cædis occultæ, faciet cum mala fortuna.
Talia audet fœmina; interfectrix est
Viri: quod illam monstrum invisum appellans
Vere appellaverim? amphisbænam, aut Scyllam aliquam
Habitantem in rupibus, nautis exitium,
Aut furentem orci matrem, odium implacabile
Amicis spirantem? ut vero exultavit
Facinorosa illa, quasi in acie fugata!
Videtur autem lætari de marito reduce.
Quod si nihil horum similiter persuadeam, quid tum?
Quod futurum est eveniet: & tu miserans illorum vices
Vatem me dices statim veracem nimis.
Chor. Thyestæ quidem convivium ex liberorum carnibus
Agnovi atque horrui; horror etiam me occupat
Cum audiam vere non ex conjectura prolata.
Cætera autem dum audio e cursu devians curro.
Casan. Agamemnonis aio te visurum mortem.

Χο. Εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα.
Κα. Αλλ' οὔτι Παιὼν τῷδ' ἐπιστατεῖ λόγῳ.
Χο. Οὐκ, εἰ παρίσταί γ' ἀλλὰ μὴ γένοιτό πως.
Κα. Σὺ μὲν κατεύχῃ, τοῖς δ' ἀπαντείοις μέλει.
Χο. Τινὸς πρὸς ἀνδρὸς τοῦτ' ἄχος περσύεται;
Κα. Ἡ κἀρτ' ἄρ' ἂν παρεσκέπτεις χρησμῶν ἐμῶν.
Χο. Τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανήν.
Κα. Καὶ μὴν ἄγαν γ' Ελλὴν' ἐπίσταμαι φάτιν.
Χο. Καὶ γὰρ τὰ πυθόχρηστα' δυσπαθῆ δ' ὅμως.
Κα. Παπαῖ, οἷον τὸ πῦρ ἐπέρχεται δέ μοι;
Οτοτοῖ, Λύκει' Απολλον· οἰ ἐγὼ, ἐγώ.
Αὕτη δίπους λέαινα συγκοιμωμένη
Λύκῳ, λεοντος εὐγενοῦς ἀπουσίᾳ,
Κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον
Τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσει κότῳ.
Επεύχεται θήγουσα φωτὶ φάσγανον,
Εμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον.
Τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε,
Καὶ σκῆπτρα, καὶ μαντεῖα περὶ δέρῃ σέφη;
Σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ.
Ιτ' ἐς φθόρον πεσόντ'· ἀγαθὼ δ' ἀμείψομαι
Αλλην τιν' ἄτην ἀντ' ἐμοῦ πλωτίζετε.
Ιδοὺ δ' Απόλλων αὐτὸς ἐκδύων ἐμὲ
Χρηστηρίαν ἐσθῆτ'. ἐπόπτευσας δέ με
Κἀν τοῖσδε κόσμοις καταγελωμένην μετὰ
Φίλων, ὑπ' ἐχθρῶν, οὐ διχορρόπως μάτην.
Καλεμένη δὲ φοιτὰς ὡς ἀγύρτρια,
Πτωχὸς, τάλαινα, λιμόθνης ὑπισχόμην.
Καὶ τὸν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ,
Απῆγαγ' ἐς τοιάσδε θανασίμους τύχας.
Βωμοῦ πατρῴου δ' ἀντιπίξιον μέτα,
Θερμῷ κοπείσης Φοιβῳ προσφάγματι.
Οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθήξομεν.
Ηξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
Μητροκτόνον φίτυμα, ποιπάτωρ πατρὸς·
Φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
Κάτεισιν, ἄτας τάσδε θρηνώσαν φίλοις,
Αξων τιν ὑπτίασμα κειμένου πατρός.
Τί δῆτ' ἐγὼ κάτοικος ὢν ἀναστένω,
Επεὶ τὸ πρῶτον εἶδον Ιλίου πόλιν

Chor. Bene ominate, o miſera, os oblini.
Caſan. At medicus nullus huic morbo præſt.
Chor. Non, ſi res ita acciderit; ſed ne unquam accidat (*opto.*)
Caſan. Tu quidem deprecare, iis vero interficere curæ erit.
Chor. Quonam a viro hocce paratur ſcelus?
Caſan. Certe valde aberraſti a vaticiniis meis.
Chor. Perpetraturi haud intellexi dolum.
Caſan. Atqui ego ſatis ſermonem Græcum calleo.
Chor. Et hæc ex Pythii mente eventura pariter, & perpeſſu gravia.
Caſan. Proh dii! qualis calor corpus meum invadit!
Ototoi, Lycie Apollo! heu me, me!
Hæc bipes Læna commiſta
Lupo, Leonis generoſi abſentia,
Me miſeram interimet: & quaſi pharmacum (*forte*)
Parans mulier, me etiam pretium imponet potioni. (*vel, poculo,*
Gloriatur gladium in maritum acuens,
Pro mea abductione ſe repenſuram cædem.
Quid igitur circa me hæc deridicula geſto,
Et ſceptra, & fatidicas circa collum corollas?
Equidem ante fatum meum hæc diſperdam.
Ite in interitum ruentia; ita vicem rependam: (acquirite.
Aliud quoddam damnum (*alium quem damno afficietis*) mei vice
En vero ipſe Apollo me exuit
Fatidica veſte: vidiſti autem me
Etiam in hiſce ornamentis irriſam, una cum
Amicis, ab inimicis, ſine controverſia immerito.
Quando autem appellabar inſana uti circulatrix,
Mendica, miſera, fame peritura id ſuſtinui.
Et jam me vates vatem conficiens
Abegit in has exitiales miſerias.
Aræ paternæ loco truncus manet culinarius,
Cum mactanda fuero calida cruenta hoſtia.
Non tamen inulti a diis moriemur.
Veniet enim alius noſtrum viciſſim ultor,
Matricida progenies, vindicator patris:
Exul autem erro & ab hoc ſolo ejectitius
Adveniet haſce clades conſummaturus amicis,
Inhoſpitalem reſupinationem jacentis patris.
Quid igitur ipſa decola ita ingemiſco,
Poſtquam prius vidi urbem Ilii

Πράξασαι ὡς ἔπραξεν· οἳ δ' εἶχον πόλιν,
Οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει;
Ἰοῦσα πράξω, τλήσομαι τὸ κατθανεῖν.
Ὀμόσματ' γὰρ ὄρκοις ἐκ θεῶν μέγας·
Λύειν πύλας δὲ τὰς λέγω, προσεπίπτω·
Ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
Ὡς ἀσφάδαστος, αἱμάτων εὐθησίμων
Ἀπορρύειν, ἕμμα συμβάλω τόδε.
Χο. Ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' αὖ σοφὴ
Γύναι· μακρὰν ἔτεινας. εἰ δ' ἐτητύμως
Μέλλον τὸν αὐτῆς οἶσθα, πῶς, θηλάτιν
Βοὸς δίκην, πρὸς βωμὸν εὐτόλμως πατεῖς;
Κα. Οὐκ ἔστ' ἄλυξις οὐ ξένοι χρόνῳ πλέω.
Χο. Ὁ δ' ὕστατός γε τοῦ χρόνου περισβένεται.
Κα. Ἧκει τόδ' ἦμαρ· σμικρὰ κερδανῶ φυγῇ.
Χο. Ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενός.
Κα. Οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων.
Χο. Ἀλλ' εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῷ.
Κα. Ἰώ, πάτερ, σοῦ τῶν τε γενναίων τέκνων.
Χο. Τί δ' ἐστὶ χρῆμα, τίς σ' ἀποστρέφει φόβος;
Κα. Φεῦ, φεῦ.
Χο. Τί τοῦτ' ἔφευξας; εἴ τι μὴ φρενῶν ταράσσει.
Κα. Φόβου δόμοι πνέουσιν αἱματοσταγῆ.
Χο. Καὶ πῶς τόδ' ἄζυ θυμάτων ἐφιστίων;
Κα. Ὁμοῖος ἀτμὸς ὥσπερ ἐκ τάφου πρέπει.
Χο. Οὐ Σύριον ἀγλάϊσμα δώμασιν λέγεις.
Κα. Ἀλλ' εἶμι καὶ δόμοισι κωκύσουσ' ἐμὴν
Ἀγαμέμνονός τε μοῖραν. ἀρκείτω βίος.
Ἰὼ, ξένοι.
Οὔτοι δυσείζω θάμνον ὡς ὄρνις, φόβῳ·
Ἀλλ' ὡς θανούσῃ μαρτυρεῖτέ μοι τόδε,
Ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ,
Ἀνήρ τε δυσδάμαρτος ἀντ' ἀνδρὸς πέσῃ.
Ἐπίξυνοῦμαι ταῦτα δ' ὡς θανουμένῃ.
Χο. Ὦ τλῆμον, οἰκτίρω σε θεσφάτου μόρου.
Κα. Ἀπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω
Ἐμὸν τὸν αὐτῆς. ἡλίῳ δ' ἐπεύχομαι
Πρὸς ὕστατον φῶς, τοῖς ἐμοῖς τιμωρούς,

¶ 1316. φεῦ φεῦ] Σπλαφνομένη λέγει τοῦτο ἐν τῷ αἰσίνειν. ἐκπεῖ γὰρ αἰσχύνεσθαι ὡς τι δεινὸν ἐρῶσα.
¶ 1321.

Agentem ſicut egerit; eos autem qui civitatem obtinuerunt,
Talem exitum habentes deorum arbitrio?
Pergens ulterius ſuſtinebo mori.
Juratum enim per deos juramentum magnum;
Orci januas hatce ego alloquor,
Comprecorque ut tempeſtivam ſortiar plagam,
Ut ſine lucta, ſanguinç facilem laturo mortem
Effluente, hunc concludam oculum.
Chor. O multum miſera, multum etiam prudens
Mulier! (*orationem*) proſecuta es in longum. quod ſi vere
Tuam mortem noſti, quomodo, inſtar divinitus impulſæ
Juvencæ, ad aram audacter proficiſceris?
Caſan. Non eſt amplius fuga, o hoſpites.
Chor. At qui poſtremus eſt, tempore honoratur.
Caſan. Adeſt dies, parum lucrabor fuga.
Chor. At ſcito te eſſe miſeram cum ſis animo confidenti.
Caſan. Felicium nemo hæc audit.
Chor. „At mori glorioſe commendationi eſt.
Caſan. Heu, pater, tibi & generoſis liberis!
Chor. Quænam res eſt? quis te avertit metus?
Caſan. Heu, heu!
Chor. Quid adeo refugis? niſi aliquis ſit mentis horror.
Caſan. Cædem hæc domus olet ſanguinariam.
Chor. Et quomodo hæc odorata es ex victimis focatiis?
Caſan. Talis nidor qualis ex ſepulchris exiſtit.
Chor. Haud dicis decus Syrium in ædibus.
Caſan. Quinetiam in ædibus gemitura meam
Agamemnoniſque mortem. Hactenus vixiſſe ſatis eſto.
Heu, hoſpites!
Haud averſor virgultum uti avis præ timore;
Verum ut mortuæ mihi hoc teſtificemini,
Mulier cum pro me muliere mortua erit,
Virque pro viro malam habente uxorem cadat.
Hæc dona hoſpitalia vobis relinquam ut jam moritura.
Chor. O infelix, miſeror prævifum fatum tuum.
Caſan. Simul adhuc dicere extremum teſtamentum aut threnum velim
Mei ipſius: Solem autem obteſtor
Uſque ad extremam lucem, una cum ultoribus meis,

¶ 1321. Σύμμιν ἀγλαΐσμα] ? ὅτι τὸ συμμίασμα βασανωτέον. ¶ 1325. Οὕτω δυσοίζω] ὁ δυσχεραίνω, φησὶν, φοβούμενος. ¶ 1329. Ξυξυνῦμαι] φιλοῦμαι.

Ἐχθροῖς Φοινΐσσι τοῖς ἐμοῖς τίσιν ὁμοῦ·
Δούλης θανούσης εὐμαρὴς χειρώματος.
„Ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μὲν
„Σκιά τις ἀντείψειν· εἰ δὲ δυστυχῆ,
„Βολαῖς ὑγρώσσαν σπόγγος ὥλισε γραφήν.
Καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτίρω πολύ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χο. „Τὸ μὲν εὖ πράττειν ἀκόρεστον ἔφυ
„Πᾶσι βροτοῖς· δακτυλοδικτᾶν
„Δ' οὔτις ἀπειπὼν εἴργει μελάθρων.
Μηκέτι δ' εἰσίλθῃς τάδε φανείη.
Καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν
Μάκαιρες Πριάμῳ·
Θεοτίμητος δ' οἴκαδ' ἱκάνω.
Νῦν δ' εἰ πρεπόντων αἷμ' ἀποτίσει,
Καὶ τοῖσι θανοῦσι θανὼν, ἄλλων
Πεπρὰς θανάτων ἄγαν ἐπαρκεῖ.
Τίς ἂν ἴυξαιτο βροτῶν, ἀσπεῖ
Δαίμονι φῦναι, τάδ' ἀκούων;

ΙΑΜΒΟΙ.

Αγ. Ὤμοι, πέπληγμαι καιρίαν πληγὴν ἔσω.
Ημ. Σίγα· τίς πληγὴν αὐδᾷ καιρίως οὐτασμένος;
Αγ. Ὤμοι, μάλ' αὖθις δευτέραν πεπληγμένος.
Ημ. Τοὔργον εἰργάσθαι δοκεῖ μοι βασιλέως οἰμώγματι.
Ἀλλὰ κοινωσώμεθ' ἂν πως ἀσφαλῆ βουλεύματα.
Ημ. Ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω,
Πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσων βοήν.
Ημ. Ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ,
Καὶ πρᾶγμ' ἑλίγχειν ξὺν παρρύτῳ ξίφει.
Ημ. Καὐγὼ τοιούτου γάματος κοινωνὸς ἂν
Ψηφίζομαί τι δρᾶν. τὸ μὴ μέλλειν δ' ἀκμή.
Ημ. Ὁρᾶν πάρεστι· φροιμιάζονται γὰρ ὡς
Τυραννίδος σχεῖν πράσσοντες πόλιν.
Ημ. Χρονίζομεν γάρ. οἱ δὲ μελλούσης κλίσις
Πέδον πατοῦντες, οὐ καθεύδουσιν χερί.
Ημ. Οὐκ εἶδα βουλῆς ἥς τινος τυχὼν λέγω.
Τοῦ δρᾶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρι.
Ημ. Καὐγὼ τοιοῦτός εἰμ', ἐπεὶ δυσμηχανῶ

Inimicos cædis meæ autores ut ulciſcantur ſimul;
Serva perempta facili victoria.
„O res humanas! quas cum ſecundæ ſint
„Vel umbra quælibet everterit: ſin adverſæ fuerint,
„Applicata madens ſpongia imaginem delet.
Atque hæc præ illis miſeror multo magis.

ANAPÆSTI.

Chor. „Bene agendi nulla ſatietas eſt
„Cunctis mortalibus; digito monſtratum (*virum beatum*)
„Nemo vetans arcet ab ædibus.
Attamen ne intres talia vociferans.
Et huic quidem ut urbem Priami
Caperet conceſſere cœlites:
A numine honoratus domum venit.
Nunc vero ſi priorum ſanguinem luet,
Et morientibus moriens, aliarum
Mortium pœnas nimis adimplebit.
Quis mortalium gloriari poterit, innoxio
Genio ſe natum eſſe, hæc cum audiverit?

IAMBI.

Agam. Ohime! lethali intus percuſſus ſum vulnere.
Semic. Tace: quis clamat vulnus lethaliter vulneratus?
Agam. Ohime! iterum ſecundo ictu ſauciatus.
Sem. Patrari facinus mihi videtur regis ex ejulatu.
At tuta communicemus conſilia.
Sem. Ego quidem vobis meam dico ſententiam,
Ut huc ad ædes clamore cives convocemus.
Sem. Mihi autem quam celerrime irruere optimum videtur,
Ac rem propalare recens madente gladio.
Sem. Et ego ejuſdem ſententiæ particeps
Suffragor aliquid faciendum; ſc. neutiquam cunctandum eſſe.
Sem. Diſpicere liceat: exordiuntur enim quaſi
Tyrannidis ſigna molientes urbi.
Sem. Enimvero nos cunctamur; iſti autem futuræ rei
Inſiſtentes, non facile dormiunt.
Sem. Haud novi quid cujus conſilii me eſſe dicam:
Agentis eſt etiam conſilium dare.
Sem. Et ego talis ſum; ſiquidem fruſtra conor

Ἀόγοισι τὸν θανόντ' ἀπιστάναι πάλιν.
Ημ. Η καὶ βίον κτείνοντες ὧδ' ὑπείξομεν
Δόμων καταισχυντῆρσι τοῖσδ' ἠγημένοις;
Ημ. Αλλ' οὐκ ἀκτὸν, ἀλλὰ κατθανεῖν κράτει.
Πεπαιτέρα γὰρ μοῖρα τῆς τυραννίδος.
Ημ. Η γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων
Μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος;
Ημ. Σάφ' εἰδότας χρὴ τῶνδε μυθοῦσθαι πέρι.
Τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα.
Ημ. Ταύτην ἐπαινῶ πάντοθεν πληθύνομαι,
Τραπὼς Ατρείδην εἰδέναι κυρεῖν' ὅπως.
Κλ. Πολλῶν πάρεισιν καιρίας εἰρημέναι,
Ταιαντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.
Πῶς γάς τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
Δοκοῦσιν εἶναι, πημονὴν ἀρκύστατον
Φράξειν, ὕψος κρεῖσσον ἐκπηδήματος;
Εμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι
Νίκης παλαιᾶς ἦλθε, σὺν χρόνῳ γε μήν·
Εστηκα δ' ἵνθ' ἔπεσ' ἐπ' ἐξεργασμένοις.
Οὕτω δ' ἔπραξα (καὶ τάδ' οὐκ ἀρνήσομαι)
Ως μήτε φεύγειν μήτ' ἀμύνεσθαι μόρον.
Απειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,
Περιστιχίζω, πλοῦτον εἵματος κακόν.
Παίω δέ νιν δὶς κἀν δυοῖν οἰμώγμασιν
Μεθῆκεν αὐτοῦ κῶλα· καὶ πεπληγότι
Τρίτην ἐπιδίδωμι, τοῦ κατὰ χθονὸς
Ἀιδῃ νεκρῶν σωτῆρος εὐκταίαν χάριν.
Οὕτω τὸν αὐτοῦ θυμὸν ὁρμαίνει πεσών·
Κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν,
Βάλλει μ' ἐρεμνῇ ψακάδι Φοινίας δρόσου,
Χαίρουσαν οὐδὲν ἧσσον, ἢ Διὸς τότῳ
Γᾶν, εἰ σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
Ως ὧδ' ἐχόντων, πρέσβος Αργείων τόδε,
Χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι.
Εἰ δ' ἦν πρεπόντων ὥς' ἐπισπένδειν νεκρῷ,
Τάδ' ἂν δικαίως ἦν. ὑπερδίκως μὲν οὖν
Τοσῶνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε
Πλήσας ἀραίων, αὐτὸς ἐκπίνει μολών.

¶ 1374. Πεπαιτέρα] ὠμοτέρα, γλυκυτέρα. ἡδυτέρα, φησὶν, ὁ θάνατος ὁ ὑπὸ τῶν ἐναντίων, τῆς

Mortuum ſermonibus reſuſcitare.
Sem. An & vitam prorogantes ita cedemus
Domos inceſtantibus his principibus?
Sem. At non ſuſtinendum, quin præſtat mori:
Tolerabilior enim mors tyrannide.
Sem. An ex indiciis ejulatuum
Hariolabimur virum periiſſe?
Sem. (*Iis*) qui certo ſciunt de his differendum eſt:
Nam conjectare & certo ſcire diſtant.
Sem. Hanc ſententiam approbare omnino perſuadeor,
Ut palam viſamus Atridem quomodo ſe habeat.
Clyt. Multis jamdudum tempeſtive dictis,
Contraria fari non me pudebit.
Qui enim aliquis parans hoſtibus hoſtilia, qui amici
Videntur eſſe, cladem inevitabilem
Inſtrueret, cacumen exuperatu majus?
Hoc vero certamen mihi non incogitatum
Veteris victoriæ venit, demum cum tempore:
Stetitque ubi ego ſuaſi re perfecta.
Ita quidem rem confeci (neque id inficiabor)
Ut neque effugiat neque propulſet mortem.
Inextricabile verriculum, quaſi piſcium,
Circumjicio, malas veſtis divitias.
Eum autem bis ferio, & duobus ejulatibus
Solvuntur illi membra; & lapſo
Tertiam ſuperaddo plagam, ſubterranei
Plutonis mortuorum-ſervatoris munus optabile.
Ita ille animam ſuam cadens evomit,
Efflanſque celeri ſanguinem fuſum cæde
Me ferit purpurea gutta cruenti roris,
Non minus lætantem quam Jovis madore
Terram, cum ſeminalis flos in puerperiis calicis.
Hæc cum ita ſint, (*vos o*) decus Argivorum
Gaudete, ſi gaudere velitis; ego quidem (*ut gaudeatis*) opto.
Et ſi deceret libare ſuper mortuo,
Etiam hæc jure facta eſſent; quippe cum ultra fas
Tantorum pateram in ædibus malorum iſte
Impleſſet execrabilium, ipſe reverſus ebibit.

τῆς τυραννίδος. ¶ 1379. Ἐπαινῶ πάντοθεν] ἐπαινῶ ἐγὼ κατασάσιν ὁ βασιλεύς. ¶ 1384. Ἀκύρατον] τὸν μεθύσμασιν διαφόρως ταύτην γινόμενον, τὸ μεθῦον ἐν οἷς ἄφυκτον.

Χο. Θαυμάζομέν σε γλῶσσαν ὡς θρασύστομος,
Ητις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον.
Κλ. Πειρᾶσθέ μου γυναικὸς ὡς ἀφρόνιμος, 1410
Εγὼ δ' ἀτρίστῳ καρδίᾳ πρὸς εἰδότας
Λέγω· σὺ δ' αἰνεῖν εἴτέ μ' ψέγειν θέλεις,
Ομοίως. οὗτός ἐστιν Αγαμέμνων, ἐμὸς
Πόσις, νεκρὸς δὲ τῇδε δεξιᾶς χερός·
Εργον δικαίας τέκτονος. τάδ' ὧδ' ἔχει. 1415

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

στροφή.

Χο. Τί κακὸν, ὦ γύναι, χθονοτριφὲς
Εδαισεν ἢ ποτὸν πασαμένα, ῥυσᾶς
Εξ ἁλὸς ὁρώμενον τόδ' ἐπέθου θόος
Δημοθρόους τ' ἀρᾶς; ἀπέδικες, ἀπέταμες·
Απολις δ' ἔσῃ, μῖσος ὄμβριμον ἀστοῖς. 1420

ΙΑΜΒΟΙ.

Κλ. Νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ,
Καὶ μῖσος ἀστῶν, δημόθρους τ' ἔχειν ἀρὰς,
Οὐδὲν τόδ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων·
Ος οὐ προτιμῶν, ὡσπερεὶ βοτοῦ μόρον,
Μήλων φλεόντων εὐτύκοις νομεύμασιν, 1425
Εθυσεν αὐτοῦ παῖδα, φιλτάτην ἐμοὶ
Ωδῖν', ἐπῳδὲν Θρηκίων τε λημμάτων.
Οὐ τοῦτον ἐκ γῆς τῇδε χρὴ σ' ἀνδρηλατεῖν,
Μιασμάτων ἄποιν'; ἐπάκουσ δ' ἐμῶν
Εργων, δικαστὴς τραχὺς εἰ. λέγω δέ σοι 1430
Τοιαῦτ' ἀπειλεῖν, ὡς παρεσκευασμένης
Εκ τῶν ὁμοίων χειρὶ πάλιν πάσαιτ' ἐμοῦ
Αρχειν· ἐὰν δὲ τοὔμπαλιν κρατῇ θεὸς,
Γνάσῃ διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν.

ἀντιστροφή.

Χο. Μεγαλόμητις εἶ, περίφρονα 1435
Δ' ἔλακες. ὥσπερ οὖν φονολιβεῖ τύχᾳ
Φρὴν ἐπιμαίνεται. λίπτος ἐπ' ὀμμάτων

¶ 1425. Φλεόντων] πλημυόντων.
¶ 1431. Απειλεῖν] ἀναγκαίως ἀπειλεῖ, ἵνα ἐκεῖνοι τὸ ἀμφίβολον τῆς μάχης φυλάξωνται.

Chor. Miramur linguam tuam quam audaciloqua ſit,
Quæ talem de viro effutis ſermonem.
Clyt. Tentatis me mulierem ut excordem:
Ego autem intrepido corde ſcientibus
Dico. tu quidem ſive adprobare, ſive me culpare velis,
Idem eſt. hicce eſt Agamemnon, maritus
Meus, hac dextra mortuus.
Facinus juſtæ artificis. Hæc ita ſe habent.

ANTISTROPHICA.

Strophe.

Chor. Quid malum, o mulier, terra-genitum
Eſculentum aut poculentum guſtans, fluido
Vel mari ortum, hanc paraſti hoſtiam
Et populares diras? fauciaſti, abſcidiſti:
Urbe ejectitia eris, ingens odium civibus.

IAMBI.

Clyt. Nunc quidem decernis ab urbe exilium mihi,
Et odium civium, populareſque ut diras habeam;
Nihilque adverſum hunc virum affers,
Qui non præferens fatum ejus, ac ſi pecus fuiſſet,
Ovibus abundantibus herboſis in paſcuis,
Sacrificavit natam ſuam, mihi chariſſimum
Partum, placatricem flatuum Threïciorum.
Nonne hunc te virum oportuit e patria pellere
Pro mercede piaculorum? tu autem noſtrum audiens
Facinus, judex ſeverus factus es. Pronuntio tamen tibi
Me hæc minari, ad hoc me paratam eſſe,
Si tu ſimiliter me manu viceris,
Mihi imperabis; ſin aliter decernat deus,
Scies edoctus ſero licet ſapere.

Antiſtrophe.

Chor. Magna meditaris, & contemptu plena
Protuliſti, velut cædem ſpiranti fortuna
Mens tibi furit; ſtilla in oculis

Αἵματος εὐτρέπισαν τίετον. ἔτι σὲ χρὴ
Στερομέναν φίλων τύμμα τύμμα τίσαι.

ΙΑΜΒΟΙ.

Κλ. Καὶ τήνδ' ἀκούεις ὁρκίων ἐμῶν θέμιν·
Μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς δίκην,
Ἄτην, ἐρινύν θ', αἷσι τόνδ' ἔσφαξ' ἐγὼ,
Οὔ μοι φόβου μίλαθρον ἐλπὶς ἐμπατεῖ,
Ἕως ἂν αἴθῃ πῦρ ἐφ' ἑστίας ἐμὰς
Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί.
Οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ μικρὰ θράσους.
Κεῖται γυναικὸς τῆσδε λυμαντήριος,
Χρυσηίδων μείλιγμα τῶν ὑπ' Ἰλίῳ·
Ἥ τ' αἰχμάλωτος ἥδε καὶ τιρασκόπος,
Καὶ κοπόλιχνος τοῦδε, θεσφατηλόγος
Πιστὴ ξύνευνος, ναυτίλων δὲ σιλμάτων
Ἰστοτρίβης. ἄτιμα δ' οὐκ ἐπραξάτην.
Ὁ μὲν γὰρ οὕτως· ἡ δέ τοι, κύκνου δίκην,
Τὸν ὕστατον μέλψασα θανάσιμον γόον,
Κεῖται φιλήταρ τοῦδ', ἐμοὶ δ' ἐπήγαγεν
Εὐνῆς παροψώνημα τῆς ἐμῆς χλιδῆς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

στροφὴ α.

Χο. Φεῦ, τίς ἂν ἐν τάχει, μὴ περιώδυνος,
Μηδὲ δεμνιοτήρης,
Μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν
Μοῖρ' ἀτέλευτον ὕπνον, δαμέντος
Φύλακος εὐμενεστάτου, καὶ
Πολλὰ τλάντος γυναικὸς διαί·
Πρὸς γυναικὸς δ' ἀπέφθισεν βίον.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἰὼ, παραυόμους Ἑλένα μία τὰς πολλὰς,
Τὰς πάνυ πολλὰς ψυχὰς
Ὀλέσασ' ὑπὸ Τροίᾳ.
Νῦν δὲ τελείαν πολύμαστον
Ἐπηθίσω δι' αἷμ' ἄπιστον.

¶ 1455. φιλήταρ] ἐκ ψυχῆς φιλομβρῆ τῷ Ἀγαμέμνονι.

Sanguinis apparet indecora. Adhuc oportet te
Amicis orbam plagam plaga pendere.

IAMBI.

Clyt. Et audis hoc mei juramenti fas:
Per peractam filiæ meæ ultionem,
Per Aten ac Erinnyn, quibus ego hunc mactavi,
Non mihi ſuſpicio eſt timoris ſpecu ingredi,
Quamdiu accendat ignem in foco meo
Ægiſthus, ſicut antea mihi optime conſulens.
Ille enim nobis ſcutum haud parvum confidentiæ.
Jacet mulieris hujus (*i. e. mei*) peſtis,
Chryſeïdum ad Ilium deliciæ;
Et hæc captiva oraculaque effutiens,
Et huic conſors tori, divinatrix
Fida concubina, apud tranſtra nautica
Claſſearia verna: inhoneſte non ſe geſſerunt (*ſc. moriendo.*)
Ille quidem ita: hæc vero, cygni inſtar,
Extremum modulata funebrem leſſum,
Jacet hujus amaſia, mihi vero adduxit
Cupedias ad mei lecti delicias.

ANTISTROPHICA.

Strophe 1.

Chor. Heu! aliqua repentina, non dolore afficiens,
Neque lectum ſervans,
Appulerit ſemper afferens nobis
Parca interminabilem ſomnum, cæſo
Cuſtode benigniſſimo (*regni*) & multa
Perpeſſo mulieris ergo;
Ob mulierem vero vitam perdidit.

ANAPÆSTI.

O iniquam Helenam, una quæ multas,
Multas admodum animas
Perdidiſti ad Trojam!
Nunc vero nobilem memorabilem (*Agam. animam*)
Defloraſti per cædem inexpiabilem.

¶. 1456. Παρεψόιμα] Ψ ἐκ φθιτίας τευχῶν.

Ητις ἦν τότ' ἐν δόμοις
Ερις ἐριδματος ἀνδρὸς ἐιζύς.
Κλ. Μηδὲν θαλάτω μοῖραν ἐπεύχου
Τοῖσδε βαρυθεὶς·
Μηδ' εἰς Ελένην κότον ἐκτρέψῃς,
Ως ἀνδρολέτειρ', ὡς μία πολλῶν
Ανδρῶν ψυχὰς Δαναῶν ὀλίσασ',
Αξύστατον ἄλγος ἔπραξεν.

ἀντιστροφὴ α.

Χο. Δαῖμον, ὃς ἐμπίπτεις δώμασι καὶ
Διφυεῖσι Τανταλίδαισιν,
Κράτος ἰσόψυχον ἐκ γυναικῶν
Καρδίᾳ δηκτὸν ἐμοὶ κρατύνεις.
Επὶ δὲ σώματος δίκαν μοι
Κόρακος ἐχθρῷ σταθεὶς ἐκόμως
Υμνον ὑμπὶν ἐπεύχεται.

ΑΝΑΠΑΙΣΤΟΙ.

Κλ. Νῦν δ' ἄρθωσας στόματος γνάμψι,
Τὸν τριπάχυιον
Δαίμονα γένυας τῆσδε καλήσκων.
Εκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς
Νείρει τρέφεται, πρὶν καταλῆξαι
Τὸ παλαιὸν ἄχος, νέος ἰχώρ.

στροφὴ β.

Χο. Η μέγαν οἴκοις τοῖσδε
Δαίμονα καὶ βαρύμηνιν αἰνεῖς.
Φεῦ, φεῦ κακὸν αἶσον ἀτη-
ρᾶς τύχας ἀκορέστου·
Ἰὼ, ἰὴ διὰ Διὸς
Παναιτίᾳ παιεργέτα.
„Τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται;
„Τί τῶνδ' οὐ θεόκραντόν ἐστιν;

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἰὼ, ἰὼ,

¶ 1478. Διφυεῖσι Ταντα λίδαισιν] Ατρεῖ καὶ Θυέστῃ, ἢ, Αγαμέμνονι καὶ Μενελάῳ. ¶ 1479. Γυναικῶν] Κλυ-

Talis erat tunc in ædibus
Eris viri domitrix ærumna.
Clyt. Nequaquam mortis ſortem exopta
Hiſce gravatus;
Neque in Helenam iram convertas,
Tanquam viriperdam, ac ſi una multorum
Virorum animas Græcorum perdens,
Intolerabilem dolorem effecerit.

Antiſtrophe 1.

Chor. O Genie, qui gravis incumbis in has ædes
Et in geminos Tantalidas,
Robur par animis mulierum
Cor meum vellicans confirmas.
Super corpore vero inſtar
Corvi inviſi ſiſtens, nefarie
Hymnum canere gloriaris.

ANAPÆSTI.

Clyt. Nunc autem correxiſti oris ſententiam,
Illum tricubitalem
Genium hujus proſapiæ incalans:
Ab illo enim amor ſanguinem effundendi
In viſceribus alitur, priuſquam ſedarit
Antiquum piaculum, ſanies recens.

Strophe 2.

Chor. Certe magnum hiſce ædibus
Genium & ira gravem laudas.
Heu! heu! mala laus damnoſæ
Et inſatiabilis fortunæ!
Eheu a Jove,
Omnium authore, omnium effectore!
„Quid enim mortalibus abſque Jove perficitur?
„Quid horum non a Deo eſt decretum?

ANAPÆSTI.

Heu! heu!

Κλυταιμνήστρας ἢ Ελένης λέγει, αἱ κῆ φαυλότητα ἰδίων ψυχῶν σῶμα βοᾷ, ὅτω ἢ ὁ δαίμων ὁμοίως ἴσα τοῖς ψυχοῖς ἴσχυει. ¶ 1482. Κέρδιστ]ως κέρδος δικάσει, ἀντὶ τὸ δίκαιον.

Βασιλεῦ, βασιλεῦ, πῶς σε δακρύσω;
Φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
Κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷ-
δ' ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων,
Ω μοι μοι κοίταν τάνδ' ἀπελεύ-
θερον, δολίῳ μόρῳ δαμεὶς
Ἐκ χειρὸς ἀμφιτόμῳ βελέμνῳ.
Κλ. Αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν.
Μηδ' ἐπιλεχθῇς *
Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον.
Φανταζόμενος δὲ γυναικὶ νεκρῷ
Τοῦδ', ὁ παλαιὸς θρεμμὺς ἀλάστωρ
Ἀτρέως χαλεποῦ θοινατῆρος,
Τόνδ' ἀπέτισεν,
Τέλειον παρεῖς ἐπιθύσας.

ἀντιστροφὴ β.

Χο. Ὡς μὲν ἀπαίτιος εἶ
Τοῦδε φόνου, τίς ὁ μαρτυρήσων;
Πῶ, πῶς; πατρόθεν δὲ συλλή-
πτωρ γένοιτ' ἂν ἀλάστωρ.
Βιάζεται δ' ὁμοσπόροις
Ἐπιῤῥοαῖσιν αἱμάτων
Μέλας Ἄρης· ὅποι δὲ καὶ προβαίνων
Πάχνα χυροβόρῳ παρίξυ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ἰὼ, ἰὼ,
Βασιλεῦ, βασιλεῦ, πῶς σε δακρύσω;
Φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
Κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷ-
δ' ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.
Ω μοι μοι κοίταν τάνδ' ἀπελεύ-
θερον, δολίῳ μόρῳ δαμεὶς
Ἐκ χειρὸς ἀμφιτόμῳ βελέμνῳ.
Κλ Οὔτ' ἀπελεύθερον οἶμαι θάνατον
Τῷδε γενέσθαι.
Οὐδὲ γὰρ οὕτος δολίαν ἄτην
Οἴκοισιν ἔθηκ'· ἀλλ' ἐμὸν ἐκ τοῦ-
δ' ἔρπος ἀερθὲν, τὴν πολύκλαυτόν

Rex, rex, qui te deflebo?
Amica e mente quidnam dicam?
Jaces araneæ in tela
Hac impia morte animam expirans,
Hei mihi, mihi hunc lectum indignum! doloso fato domitus
A manu ancipiti telo (*instructa.*)
Clyt. Dicis meum esse hoc opus:
Sed ne dicas
Me Agamemnonis conjugem feciſſe.
Assimilatus vero uxori mortui
Hujus priscus torvus alastor,
Atrei diri epulatoris,
Hunc punivit,
Perfectæ ætatis virum super juvenibus mactans.

Antistrophe 2.

Chor. Quod autem insons es
Hujus cædis, quis testis (*erit?*)
Ubi, ubi est? ut patri adjutor
Fiat alastor.
Violatur vero cognatis
Sanguinis profluviis
Niger Mars (*i. gladius*) ubi etiam progressus
Saniem nativoram præbebit.

ANAPÆSTI.

Heu! heu!
Rex, rex, qui te deflebo?
Amica e mente quid dicam?
Jaces araneæ in textura
Hac impia morte animam expirans,
Hei mihi, mihi hunc lectum indignum! doloso fato domitus
A manu ancipiti telo (*instructa.*)
Clyt. Mortem haud indignam arbitror
Huic contigisse:
Neque enim ille insidiosam cladem
Ædibus intulit; sed meum ex ipso
Germen sublatum, multum defletam

Τ' Ἰφιγένειαν ἀτάξια δράσας,
Ἄξια πάσχων, μηδὲν ἐν ᾅδᾳ
Μεγαλαυχείτω, ξιφοδηλήτῳ
Θανάτῳ τίσας ἄπιρ ἔρξεν.

στροφὴ γ.

Χο. Ἀμηχανῶ, φροντίδων στερηθείς,
Εὐπάλαμον μέριμναν,
Ὅτα τράπωμαι, πίπτοντος οἴκου.
Δείδοικα δ' ὄμβρου κτύπον δομοσφαλῆ
Τὸν αἱματηρόν· ψιχὰς δὲ λήγει.
Δίκη δ' ἐπ' ἄλλο πρᾶγμα θήγει βλάβης,
Πρὸς ἄλλαις θηγάναις μοῖρα.

ΑΝΑΠΑΙΣΤΟΙ.

Ημ. Ἰὼ, γᾶ, γᾶ,
Εἴθ' ἐμ' ἐδίξω πρὶν τόνδ' ἐπιδεῖν
Ἀργυροτοίχου
Δρυΐτας τῶν κατέχοντα χαμεύναν.
Τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;
Ἦ σὺ τόδ' ἔρξαι
Τλήσῃ, κτείνασ' ἄνδρα τὸν αὐτῆς,
Ἀπακωκύσαι ψυχὴν, ἄχαριν
Χάριν ἀντ' ἔργων
Μεγάλων ἀδίκως ἐπικράναι;
Ημ. Τίς δ' ἐπιτύμβιος
Αἶνος ἐπ' ἀνδρὶ θείῳ
Σὺν δακρύοις ἰάπτων
Ἀληθείᾳ φρενῶν πονήσει;
Κλ. Οὔ σε προσήκει τὸ μίλημα λέγειν
Τοῦτο· πρὸς ἡμῶν κάππεσε, κάτθανε.
Καὶ καταθάψομεν
Οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων,
Ἀλλ' Ἰφιγένειαν· ἵν' ἀσπασίως
Θυγάτηρ, ὡς χρὴ,
Πατέρ' ἀντιάσασα πρὸς ὠκύπορον
Πόρθμευμ' Ἀχέων
Περὶ χεῖρα βαλοῦσα φιλήσῃ.

Chor.

Semic.

Sem.

Clyt.

Iphigeniam cum indigne affecerit,
Digna paſſus eſt, nihil in inferno
Glorietur, gladio inflicta
Morte lucns quæ prior perpetravit.

Strophe 3.

Chor. Incertus ſum animi, conſilii expers,
Solertem curam
Quonam dirigam, labente domo.
Timeo vero imbris cruenti ſonum domum labefactantem;
Deſinit enim guttatim cadere.
Vindictamque in rem aliam atque aliam acuit damnoſas
Ad alias aliaſque cotes fatum.

ANAPÆSTI.

Semic. Heu, terra, terra!
Utinam me excepiſſes antequam hunc vidiſſem
Latera argentea habentis
Loculi nunc humile poſſidentem cubile.
Quis eum ſepeliet? quis lacrymabitur?
An tu hoc facere
Suſtinebis quæ tuiipſius occidiſti virum,
Ut ejus animam lugeas, ingratam
Gratiam pro facinore
Magno injuſtoque præſtitura?
Sem. Quis ſepulchrale
Elogium in virum divinum
Cum lacrymis mittens
Mentis ſinceritate panget?
Clyt. Haud tibi convenit curam dicere
Iſtam: per nos cecidit, interiit:
Et ſepeliemus
Non cum domeſticis luctibus,
Sed Iphigenia eum lubenter
Filia, uti decet,
Patri obvians ad rapidum
Trajectum mœrorum (*Acherontis ſc.*)
Manum circumjiciens oſculabitur.

ἀντιστροφὴ γ.

Χο. Οιμοῖ ἥκει τόδ' ἀντ' ὀνείδους.
Δύσμαχα δ' ἔστι κρῖναι.
Φέρει φέρεται, ἐκτίνει δ' ὁ καίνων.
Μίμνει δὲ μίμνοντος ἐν χρόνῳ Διὸς
Παθεῖν τὸν ἔρξαντα. θέσμιον γὰρ
Τίς ἂν γονὰν ῥᾴων ἐκβάλοι δόμων;
Κεκόλληται γένος πρὸς ἄφαν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Κλ. Ἐς τόνδ' ἐτείβη ξὺν ἀληθείᾳ.
Χρησμόν. ἐγὼ δ' οὖν
Ἐθέλω δαίμοσι τῷ Πλισθενιδᾶν
Ὀρκους θιμένα, τάδε μὲν στέργειν,
Δύστλητά περ ὄντ'. ὁ δὲ λοιπόν, ἰόντ'
ἐκ τῶνδε δόμων, ἄλλῃ γενεᾷ
Τρίβειν θανάτοις αὐθέντασιν.
Κτεάνων τε μέρος βαιὸν ἐχούσῃ
Πᾶν ἀπόχρη μοι, δ' ἀλληλοφόνους
Μανίας μιλάθρων ἀφιλούσῃ.

ΙΑΜΒΟΙ.

Αγ. Ὦ φέγγος εὔφρον ἡμέρας δικηφόρου.
Φαίην ἂν ἤδη τῶν βροτῶν τιμαόρους
Θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη,
Ἰδὼν ὑφαντοῖς ἐν πέπλοις ἐριπτύων
Τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοί,
Χερὸς πατρῴας ἐκτίσαντα μηχανάς.
Ἀτρεὺς γὰρ ἄρχων τῆσδε γῆς, τούτου πατήρ,
Πατέρα Θυέστην τὸν ἐμὸν, ὡς τορῶς Φράσαι,
Αὐτοῦ τ' ἀδελφὸν, ἀμφίλεκτος ὢν κράτει,
Ηὐδηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων.
Καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν.
Τλήμων Θυέστης, μοῖραν εὗρετ' ἀσφαλῆ,
Τὸ μὴ θανὼν πατρῷον αἷμάξαι πέδον
Αὐτοῦ. ξένια δὲ τοῦδε δύσθεος πατὴρ
Ἀτρεὺς, προθύμως μᾶλλον ἢ φίλως, πατρὶ
Τῷ ἐμῷ, χρεωργὸν ἦμαρ εὐθύμως ἄγειν
Δοκῶν, παρέσχε δαῖτα παιδίων κρεῶν.

Antiſtrophe 3.

Chor. Probrum viciſſim ſuccedit probro.
Difficilia vero ſunt hæc judicatu.
Auferentem aufert, luit vero qui interficit.
Et manet eum, in tempore manente Jove,
Ut patiatur qui fecit (*malum*:) nam legitimam
Prolem ſuam quis facile deturbaret domo?
Agglutinatur enim genus attiguum.

ANAPÆSTI.

Clyt. In hunc ſupervenit vere
Oraculum. Ego igitur
Velim, Genio Pliſthenidarum
Juramento dato, his quidem contenta eſſe,
Etſi toleratu difficilia ſint; dum de cætero ille
Migrans ex hiſce ædibus aliam familiam
Conterat in-ſe-illatis mortibus.
Poſſeſſionum autem partem modicam modo habeam,
Mihi omnino ſufficit, cum ſe-invicem-perimentes
Inſanias domibus abegerim.

IAMBI.

Ægiſt. O lucem hilarem diei vindictam afferentis!
Jam tandem dicerem mortalium ultores
Deos deſuper ſpeculari terræ mala,
Cum viderim textis in peplis furiarum
Virum hunc jacentem grate mihi,
Manus paternæ luentem dolos.
Atreus enim terræ hujus princeps, illius pater,
Thyeſtem patrem meum, ut aperte dicam,
Et ipſius fratrem, litigans cum eo de imperio,
Exulare fecit ex urbe atque ædibus.
Et ſupplex ad domum rediens
Miſer Thyeſtes, ſortem invenit ſecuram,
Ne moriens cruentaret paternum ſolum.
Pro Xeniis enim hujus pater impius
Atreus, alacriter potius quam amice, patri
Meo (viſcerationis diem hilariter agere
Simulans) exhibuit convivium carnium puerilium.

Τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρους κτένας
Ἐθρυπτ' ἄνωθεν ἀνδρακὰς καθήμενος.
Ἄσημα δ' αὐτῶν αὐτὸν ἀγνοίᾳ λαβὼν,
Ἔσθει βορὰν ἄσωτον, ὡς ὁρᾷς, γέπει.
Κἄπειτ' ἐπιγνοὺς ἔργον οὐ καταίσιον,
Ὤμωξεν ἂν, πίπτει δ' ἄπο σφαγῆς ἐρῶν,
Μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται,
Λάκτισμα δίπτυν ξυνδίκως τιθεὶς ἁρᾷ.
Οὕτως ὀλίσθη πᾶν τὸ Πλεισθένους γένος.
Ἐκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα.
Κἀγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεύς.
Τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ
Συνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις.
Τραφέντα δ' αὖθις ἡ δίκη κατήγαγεν.
Καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν,
Πᾶσαν συπάψας μηχανὴν δυσβουλίας.
Οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοὶ,
Ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν.

Χο. Αἴγισθ', ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.
Σὺ δ' ἄνδρα τόνδ' ἔφης ἑκὼν καταικτανεῖν,
Μόνος δ' ἔποικτον τόνδε βουλεῦσαι φόνον.
Οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα
Δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀράς.

Αιγ. Σὺ ταῦτα φωνεῖς πρτίρα πρεσήμενος
Κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορός;
Γνώσῃ, γέρων ὤν, ὡς διδάσκεσθαι βαρὺ
Τῷ τηλικούτῳ, σωφρονεῖν εἰρημένον.
Δεσμὸς δὲ καὶ τὸ γῆρας, αἵ τε νηστιδες
Δύαι, διδάσκειν ἐξοχώτατοι φρενῶν
Ἰατρομάντεις. οὐχ ὁρᾷς ὁρῶν τάδε;
Πρὸς κέντρα μὴ λάκτιζε, μὴ πήσας μογῇς.

Χο. Γύναι, σὺ τοὺς ἥκοντας ἐκ μάχης τέων
Οἴκουρὸς εὐνὴν ἀνδρὸς αἰσχύνεσ' ἄμα,
Ἀνδρὶ στρατηγῷ τόνδ' ἐβούλευσας μόρον;

Αιγ. Καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ.
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.
Ὁ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθεγγῆς χαρᾷ,
Σὺ δ' ἐξερίσας ἡπίους ὑλάγμασιν

¶ 1603. Χερῶν ἄκρους κτένας] ἤγουν, τὰς διασά- σεις τ̃ δακτύλων. ¶ 1626. Νερτέρα πρεσήμενος] ὑπο-

Pedum quidem plantas & manuum extremos pectines
Occuluit ſeorſim ab iis qui viritim aſſidebant.
Accipiens autem ſtatim ex ignorantia partes haud agnoſcendas,
Comedit cibum, ut vides, generi inſalutarem.
Et poſtea agnoſcens facinus inhoneſtum
Valde ejulavit, reciditque cædem cupiens,
Mortem vero intolerabilem Pelopidis imprecatur,
Cœnam calce cum diris juſte petens.
Ita periit univerſa Pliſthenis proſapia.
Ob hanc cauſam occiſum hunc videre tibi licet.
Et hujus cædis ego juſtus conſarcinator.
Decimum tertium enim me (*filium*) ſimul cum ærumnoſo patre
Expellit cum eſſem parvulus in faſciis.
Educatum autem me reduxit juſtitia.
Atq; hunc quidem virum ego tetigi etiam cum foris eſſem,
Omnem connectens atrocis conſilii artem.
Ita jam pulcrum eſt mihi vel mori,
Cum viderim illum vindictæ in ſeptis.

Chor. Ægiſthe, contumelia afficere in malis haud laudo.
Tu vero virum hunc quod voluntarie occideris ais,
Et quod ſolus miſerandam hanc conſulueris cædem.
Nego evitaturum in judicio caput tuum
A populo jactatas cum lapidatione diras; hoc certo ſcito.

Ægiſt. Tunc hæc profers inferiori aſſidens
Remo, dum ii qui in tranſtro ſunt rerum potiuntur?
Scies, ſenex cum ſis, quod admoneri grave
Adultæ ætatis viro, cum ut modeſte te geras ante dictum ſit.
Vinculum autem & ſenecta, & famelicæ
Calamitates, ad inſtruendum optimæ animi
Medicæ. ecquid hæc videns nihil vides?
Ne contra ſtimulos calcitres, ne patiendo labores.

Chor. Tunc ergo, mulier, e bello nuper redeuntis
Domi manens lectum viri dehoneſtans, etiam
Viro Imperatori hanc deſignaſti mortem?

Ægiſt. Et hæc quidem verba planctuum principia.
Orpheo vero linguam habes contrariam:
Ille enim omnia attraxit vocis ſuavitate;
Tu vero irritans ſtolidis latratibus

ἐκόντος ἔφα κανθάνειν ἄν. εἰ γὰς ζυγοὶ τ θαλαμίων ἔτιν- θὶν εἶεν. 1633. Πέσαι] αἰεὶ Ε, παλαὶ.

Αξη' κρατηθεὶς δ' ἡμεράτερος φανῇ.
Χο. Ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσῃ,
Ὃς οὐκ, ἐπειδὴ τῷδ' ἐβούλευσας μόρον,
Δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως;
Αγ. Τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς·
Ἐγὼ δ' ὕποπτος ἐχθρὸς ἦ πάλαιγενὴς,
Ἐκ τῶνδ' τοῦδε χρημάτων πειράσομαι
Ἄρχειν πολιτῶν· τὸν δὲ μὴ πειθάνορα
Ζεύξω βαρείαις οὔτι μὴ σειρασφόροις
Κριθῶντα πῶλον· ἀλλ' ὁ δυσφιλὴς κότῳ
Λιμὸς ξύνοικος μαλθακὸν σφ' ἐπόψεται.
Χο. Τί δῆτα τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς·
Οὐκ αὐτὸς ἠνάριζες; ἀλλὰ σὺν, γυνὴ
Χώρας μίασμα καὶ θεῶν ἐγχωρίων
Ἐκτῆσ'. Ὁρίστης ἆρά που βλέπει φάος,
Ὅπως κατελθὼν δεύρο πρευμενεῖ τύχῃ,
Ἀμφῶν γένηται τοῖνδε παγκρατὴς φονεύς;

ΤΡΟΧΑΙΟΙ.

Αγ Ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσῃ τάχα.
Χο. Εἶα δὴ φίλοι λοχῖται, τοῦργον οὐχ ἑκὰς τόδε.
Εἶα δὴ, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.
Αγ. Ἀλλὰ κἀγὼ μὴν πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.
Χο. Δεχομένοις λέγεις θανεῖν σε· τὴν τύχην δ' ἐσούμεθα.
Κλ. Μηδαμῶς, ὦ φίλτατ' ἀνδρῶν, ἄλλα δράσωμεν κακά.
Ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον ὁ ἔρως·
Πημονῆς δ' ἄλις γ' ὕπαρχε· μηδὲν ἁματώμεθα.
Στείχετε δ', οἱ γέροντες, πρὸς δόμους πεπρωμένους τοῦδε
Πρὶν παθεῖν. ἔξαντα καιρὸν χρὴν τάδ' ὡς ἐπράξαμεν.
Εἰ δέ τοι μόχθων γένοιτο, τῶνδ' ἄλις γ' ἐχοίμεθ' ἄν,
Δαίμονος χολῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι.
Ὧδ' ἔχει λόγος γυναικὸς, εἴτις ἀξιοῖ μαθεῖν.
Αγ. Ἀλλὰ τοσάδε μοι ματαίαν γλῶσσαν ὧδ' ἀπαιθίσαι,
Κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονας πειρωμένους,
Σώφρονος γνώμης δ' ἁμαρτῆτον κρατοῦντα.
Χο. Οὐκ ἂν Ἀργείων τόδ' εἴη, φῶτα προσσαίνειν κακόν.

ℭ 1644. Ὃς ἔτλης αὐτοκτόνως] οὐκ ὑπεμεινας, γυναικὸς. ℭ 1650. Κριθῶντα πῶλον] οὐκ ὑποζεύξω ἵππον, δεχόμενον ἐν αὐτῷ τὸν ὁμοῦ μοχθοῦντα ἐν κριθῶντα πῶλον, ἤγουν, πῶνα ἐν κριθαῖς.

Duceris, devictuſque manſuetior apparebis.
Chor. Quomodo tu mihi rex Argivorum eris,
Qui, cum illi mortem deſtinaras,
Facinus ipſemet propria manu patrare non auſus es?
Ægiſt. Quoniam dolo agere plane muliebre eſt opus; 1645
Et ego ſuſpectus hoſtis antiquus fui.
Verum ex hujuſce viri facultatibus conabor
Civibus imperare; atque immorigerum
Vinciam gravibus catenis, ut non funalem ſe præbentem
Laſcivientem pullum: quin inviſis tenebris 1650
Fames cohabitans cum manſuetum videbit.
Chor. Quid vero virum hunc ex animi timiditate
Ipſemet non occidebas? at ſimul fœmina
Regionis deorumque patriorum piaculum
Interfecit. Oreſtes num alicubi lucem videt, 1655
Ut huc reverſus benevola fortuna duce,
Utriuſque fiat occiſor fortiſſimus?

TROCHAICI.

Ægiſt. At quoniam videris hoc facere atque dicere, cito cognoſces.
Chor. Eia, amici manipulares, opus hoc non procul.
Eia, quilibet gladium diſtrictum præparet. 1660
Ægiſt. Atqui etiam ego gladio diſtricto haud renuo mori.
Chor. Suſcipientibus dicis te moriturum: fortunam autem interrogabimus.
Clyt. Nequaquam, o chariſſime virorum, mala malis cumulemus.
Verum & hæc multa infortunia egerere cupido eſt:
Calamitatum enim ſatis experti ſumus; neminem cruentemus. 1665
Ite, o ſenes, domum veſtram fato deſtinatam (cimus.
Antequam patiamini: conveniebat occaſioni nos facere id quod fe-
Si autem quid laborum fuerit, horum ſatis haberemus,
Dæmonis ira gravi infeliciter percuſſi.
Sic ſe habet mulieris ſententia, ſi quis diſcere dignetur. 1670
Ægiſt. Sed hos ſtultam linguam ita dilatare,
Et projicere cjuſmodi verba dæmonas tentantes,
Moderata a ſententia depellere Imperantem non eſt ferendum.
Chor. Argivis abſit viro abblandiri malo.

χειλαῖς· ἀπὸ συγκλείσας, ἢ λιμοκτόνων ἰάτας πρᾶνῶ. ¶ 1662. Τλὰ πείθω] ἢ πίσιν, ἐγγυᾶσθαι.

Αιγ. Αλλ' ἐγώ σ' ἐν ὑστέροισιν ἡμέραις μέτειμ' ἔτι.
Χο. Οὐκ, ἢν δαίμων Ορέστην δεῦρ' ἀπευθύνῃ μολεῖν.
Αιγ. Οἶδ' ἐγὼ φεύγοντας ἄιδρας ἐλπίδας σιτουμένους.
Χο. Πράσσε, πιαίνου, μιαίνων τὴν δίκην· ἐπεὶ πάρα.
Αιγ. Ισθι μοι δώσων ἄποινα τῆσδε μοιρίας χάριν.
Χο. Κόμπασον θαρρῶν, ἀλέκτωρ ὥσπερ Θηλείας πέλας.
Κλ. Μὴ προτιμήσῃς ματαίων τῶνδ' ὑλαγμάτων.
Καὶ σὺ θήσομαι κρατοῦντι τῶνδε δωμάτων.

¶ 1682. καὶ σὺ θήσομ.] ἐγὼ, φησὶ, ὁ σὺ κρατοῦντες τῶνδε τῶν δωμάτων διαθησόμεθα τὰ καθ' αὑτὰς καλῶς.

ΤΕΛΟΣ.

Ægiſt. Verum ego extremis in diebus tibi adero.
Chor. Minime, ſi Deus Oreſtem huc ut revertatur dirigat.
Ægiſt. Novi ego extorres viros ſpem depaſcentes.
Chor. Facito, floreſce, contaminans juſtitiam; ſiquidem tibi copia eſt.
Ægiſt. Scito te daturum mihi pœnas hujus ſtultitiæ ergo.
Chor. Gloriare confiſus, tanquam Gallus prope gallinam.
Clyt. Ne tanti facias hos latratus; Egomet
Et tu pulchre rem adminiſtrabimus, hiſce imperantes ædibus.

FINIS.

ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑ

ΧΟΗΦΟΡΟΙ.

ÆSCHYLI TRAGOEDIA

CHOEPHORÆ.

A

O Ro
la
to
fu
miſerat. His
cà innoteſci
ſe fingens e
mortem pare
egreſſum der
pro vita ſua
cæde, mater
Scena Fab
bus cum inſe
gnibus CHO

Prologu

Argumentum Æſchyli Tragœdiæ quæ inſcribitur CHOEPHORÆ.

Juſtus fuerit, infelix non erit:
Funditus perire nunquam queat.
In contraria audacem legum violatorem dico,
Omnia commiſcentem injuſte,
Violente tandem naufragium facere,
Cum velum invaſerit tempeſtas
Fracta antenna.

Antiſtrophe 4.

Invocat autem non audientes:
Medio concutietur turbine.
Ridet Deus hominem audacem,
Nunquam hoc gloriantem, cernens inextricabili
Infortunio quaſi loro vinctum, nec ſcopulum prætergreſſum:
Priorem felicitatem

¶ 559. Πόνῳ-] ἀτυχία. ¶ 561. Ἀκούοντας οὐδὲν] τοὺς θεούς. ¶ 563. Γελᾷ] γελᾷ, φησὶν, ὁ δαίμων ὅτι τῷ ἀδίκως πάσχοντι τὸν μηδέποτε σεσωσόμενον τιμωρεῖσθαι ἰδὼν ἐν μέσῃ τῇ δίκῃ νωθρόγυμνον καὶ χαλινωθέντα. τοῦτο γὰρ δηλοῖ τὸ λέπαδνον. ¶ 566. Τὸν πέλας ὄλβον] τὸν πλουτοῦντα δὲ ὄλβον ἑαυτῷ σφοδρεύοντας τῷ βραχεῖ τῆς δίκης ἄλατο.

Ερματι προσβαλὼν δίκας,
Ωλιτ' ἄχλαυστος, ἄϊστος.

ΙΑΜΒΟΙ.

Αθ. Κήρυσσε, κήρυξ, καὶ στρατὸν κατεργάθου.
Η τ' οὖν διάτορος Τυρσηνικὴ
Σάλπιγξ, βροτείου πνεύματος πλησουμένη,
Τερπέτω γήρυμα φαινέτω στρατῷ.
Πλησουμένου γὰρ τοῦδε βουλευτηρίου,
Σιγᾶν ἀρήγει, καὶ μαθεῖν θεσμοὺς ἐμούς,
Πόλιν τε πᾶσαν εἰς τὸν αἰεὶ χρόνον
Καὶ τῶνδ' ὅπως ἂν εὖ καταγνωσθῇ δίκη.
Χο. Ἀναξ Ἀπολλον, ὧν ἔχεις αὐτὸς κράτος,
Τί τοῦδέ σοι μέτεστι πράγματος, λέγε.
Απ. Καὶ μαρτυρήσων ἦλθον· ἔστι γὰρ δόμων
Ἱκέτης ἑδ' ἀνὴρ, καὶ δόμων ἐφέστιος
Ἐμῶν· φόνῳ δὲ τῷδ' ἐγὼ καθάρσιος,
Καὶ ξυνδικήσων αὐτός· αἰτίαν δ' ἔχω
Τῆς τοῦδε μητρὸς τοῦ φόνου. σὺ δ' εἴσαγε
Ὅπως ἐπίστα, τήνδε κυρώσων δίκην.
Αθ. Ὑμῶν ὁ μῦθος, εἰσάγω δὲ τὴν δίκην.
Ὁ γὰρ διώκων, πρότερος ἐξ ἀρχῆς λέγων,
Γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος.
Εὐ. Πολλαὶ μέν ἐσμεν, λίξομεν δὲ σωτόμως.
Ἑπος δ' ἀμείβου πρὸς ἕπος ἐν μέρει τιθείς.
Τὴν μητέρ' εἰπὲ πρῶτον εἰ κατέκτονας.
Ορ. Ἔκτεινα· τούτῳ δ' οὔτις ἄρνησις πέλει.
Εὐ. Εν μὲν τόδ' ἤδη τῶν τριῶν παλαισμάτων.
Ορ. Οὐ κωμέπω πω τόνδε κομπάζεις λόχον.
Εὐ. Εἰπεῖν γε μέντοι δεῖ σ' ὅπως κατέκτανες.
Ορ. Λέξω. ξιφηλατῶ χειρὶ πρὸς δέρην τεμών.
Εὐ. Πρὸς τοῦδ' ἐπίσθης; καὶ τίνος βουλεύμασι;
Ορ. Τοῖς τοῦδε θεσφάτοισι· μαρτυρεῖ δέ μοι.

¶ 569. Κήρυσσε] κληρώσασα λέξωσι τὰς ἀρέσους, ἄγει δικάσοντας. καθεζόντων ἢ αὐτῶν ἐν μέσῳ πᾶσα, κελεύει δὲ τὴν σάλπιγγα ἢ ἡ κήρυξ σιωπὴν γενέσθαι, ὡς μὴ ἀκούσῃ μόνη ἡ κήρυξ. ἔστι ἢ πῶς τὰ νέον ἴδη ἀναχεοντίζει. ὦ γὰρ νῦν γένοι· ταῦτα τὴν Αθηνᾶν εἰσάγουσαν λέγουσιν. ἐχώντο γὰρ τῆ σάλπιγγι αὐτίχρων τὸ πλῆθος θέλοντες. Κατεργάθου] κατέχει, κώλυε. ¶ 574. Ἀρήγει] συμφέρει. ¶ 575. Λίαν] διωνικῶς ἀντὶ τοῦ αἰεί. ¶ 576. Καὶ τῶνδ' ὅπως] Ἀρεοπαγιτῶν. ¶ 577. Ὧν ἔχεις] ὧν ἐκληρώθης, θηλυνόμενος μαντείων. παραφανεῖται δ' Απόλλων, ταῦτα φησιν. ¶ 579. Καὶ μαρτυρήσων] ὅτι οὐκ ἔστιν εἰσαγὼς· ἐκαθήρω γὰρ αὐτόν. ¶ 582. Καὶ ξυνδικήσων] συνδίκους λέγονται οἱ ἴσον μέτεσιν

Scopulo Vindictæ impingens,
In perpetuum periit indefletus ignotus.

IAMBI.

Min. Promulga, præco, & multitudinem cohibe.
Aures penetrans Tyrrhena
Tuba, humano ſpiritu impleta,
Intentam vocem proferat multitudini.
Repleto enim hocce concilio,
Tacere præſtat, & leges meas ediſcere
Totam urbem in perpetuum:
Et ut horum recte dijudicetur cauſa.
Chor. Rex Apollo, quæ habes, retine.
Dic quid tibi cum hac re.
Apol. Teſtimonium ferens veni: eſt enim ædium
Supplex hic vir, ædium mearum
Domeſticus: hujuſce autem cædis expiatorius ſum ego;
Simulque cauſam ipſe ago: verum incuſor
Hujuſce maternæ cædis. tu vero introduc
Ut noſti, hanc confirmans cauſam.
Min. Veſtrum eſt loqui, introduco vero cauſam.
Actor primus initio loquens
Fiat totius rei verus informator.
Eum. Multæ quidem ſumus, compendio vero loquemur.
Reſponde autem verbum verbo vicißim adaptans.
Dic primum utrum matrem interfeciſti.
Oreſt. Interfeci. hoc nullatenus nego.
Eum. Unum quidem hoc eſt trium egregiorum facinorum.
Oreſt. Non jacenti (*devicto*) hunc jactanter profers ſermonem.
Eum. Oportet ut dicas quomodo interfeciſti.
Oreſt. Dicam. manu gladio armata collo vulnus infligens.
Eum. Ab hoc perſuaſus es? & cujus conſiliis?
Oreſt. Hujuſce oraculis: teſtis mihi adeſt.

τεσιν ἐν τῇ δίκῃ τὴ αἰτίαν. ¶ 585. Τμῶν] τῆ ἐμὴ μητρὸς, τί ἢ λαὶ σὰ πίγαθε ἐυδαίμονα λαβίδας δίκ γυναῖκα; ¶ 592. Τρεῖν παλαισμάτων] ἐκπαίωκας. νων. Εἰσαγω ἢ νῦν δίκην] ἔρα τὸ δικαστήριον. ¶ 586. Ο γὰρ δικάων] ὁ κατηγορῶν. ¶ 588. Παλαιὶ μὲν ἰσμὲν] τῦτο μὲν πρὸς τὰ τρεῖς, ἄλλα πρὸς τ χορόν. ἦ γὰρ ἦσαν. ¶ 589. Ἐπ' ἀμφίβλ] ἀντεχκῶς πυθόμενοῦ. εἰ μὲν ἐυσλογοῖ, ὑπευθυνῶ ἴσται· εἰ ἢ ἀγνοεῖτο, ἐλεγχέσθ. ἢ Ἀχιλλεὺς πρὸς τὰς

ἢ μεταφορὰ δὲ ἰσὶ λὸπὸ τῆ παλαισάντων, εἰ δεῖ τοῖς τρεῖς πλάσασιν ἀρίζει τῶν ἡττᾶσι. ¶ 595. Ξιφυλκῇ χειρὶ] πλατέᾳ. αἱ μὲν γὰρ τ αἰτίαν ἢ φύσις πυτάτου ὁ ἢ, πρὸς τὸ πᾶς, ξίφει, φησὶν· οἷς τὸ, μὴ δὲ ἰμῶν ἰότητα.

Εὐ. Ὁ μάντις ἐξηγεῖτό σοι μητροκτονεῖν;
Ορ. Καὶ δευρό γ' αἰεὶ τὴν τύχην οὐ μέμφομαι.
Εὐ. Αλλ' εἰ σε μάρψει ψῆφος, ἄλλ' ἐρεῖς τάχα.
Ορ. Πέπαυθ', ἀραγὰς δ' ἐκ τάφου πέμπει πατήρ.
Εὐ. Νικρεῖσι τῶν πέποιθε μητέρα κτανών.
Ορ. Δυοῖν γὰρ εἶχε προσβολὰς μιασμάτων.
Εὐ. Πῶς δή; δίδαξον τοὺς δικάζοντας τάδε.
Ορ. Ανδροκτονοῦσα πατέρ' ἐμὸν κατέκτανεν.
Εὐ. Τοὶ γὰρ σὺ μὲν ζῇς, ἡ δ' ἐλευθέρα φόνου.
Ορ. Τί δ' οὐκ ἐκείνη ζῶσαν ἤλαυνες φυγῇ;
Εὐ. Οὐκ ἦν ὅμαιμος φωτὸς ὃν κατέκτανεν.
Ορ. Εγὼ δὲ μητρὸς τῆς ἐμῆς ἐν αἵματι;
Εὐ. Πῶς γάρ σ' ἔθρεψεν ἐντὸς, ὦ μιαιφόνε,
Ζώσης; ἀπεύχῃ μητρὸς αἷμα φίλτατον;
Ορ. Ηδὴ σὺ μαρτύρησον. ἐξηγοῦ δέ μοι,
Απολλον, εἴ σφι σὺν δίκῃ κατέκτανεν.
Δρᾶσαι γὰρ ὥσπερ ἐστὶν οὐκ ἀρνούμεθα·
Αλλ' εἰ δικαίως εἴτε μὴ τῇ σῇ φρενὶ
Δοκεῖ τόδ' αἷμα, χρῖνον, ὡς τούτοις φράσω.
Απ. Λέξω πρὸς ὑμᾶς τόνδ' Αθηναίας μέγαν
Θεσμὸν δικαίως, μάντις δ' ὧν οὐ ψεύσομαι.
Οὐπώποτ' εἶπον μαντικοῖσιν ἐν θρόνοις,
Οὐκ ἀνδρὸς, οὐ γυναικὸς, οὐ πόλεως πέρι,
Ο μὴ κελεύσει Ζεὺς ὀλυμπίων πατήρ.
Τὸ μὲν δίκαιον τοῦθ', ὅσον σθένει μαθεῖν.
Βουλὴ πιφαύσκω δ' ὕμμ' ἐπισπίσθαι πατρός.
Ορκος γὰρ οὔτι Ζηνὸς ἰσχύει πλέον.
Χο. Ζεὺς, ὡς λέγεις σὺ, τόνδε χρησμὸν ὤπασε,
Φράζειν Ορέστῃ τῷδε, τὸν πατρὸς φόνον
Πράξαντα, μητρὸς μηδαμοῦ τιμὰς νέμειν;
Απ. Οὐ γάρ τι ταυτὸν, ἄνδρα γενναῖον θανεῖν
Διοσδότοις σκήπτρουσι τιμαλφούμενον,

¶ 599. Καὶ δευρό γ' αἰεὶ] ἴως δεῦρο. τὸ, αἰεὶ, τὸν δὲ, ἴως, τάττουσιν Αττικοὶ πολλάκις. Δεῦρο μὲν μοι τόνδ' αἰεὶ τινοι λόγον. ¶ 600. Τάχα] αὐτὰ τῶ, ἴσως. ¶ 601. Πέμπει πατὴρ] ὡς ὑμῖν ἔπεμψεν ἡ μήτηρ, ὕτω βοηθὸς κἀμοὶ πέμψει ὁ πατήρ. ¶ 603. Προσβολὰς] συντυχίας. ¶ 604. Δίδαξον τὺς δικάζοντας;] πανήγυρις φησὶ, μὴ ἡμᾶς δίδασκε, ἀλλὰ τοὺς δικαστάς. ¶ 605. Ανδροκτονοῦσα] ἐμὲ κτείνουσα ἐδίκησεν. ¶ 606. Τοὶ γὰρ σὺ μὲν] πῶς ὢν λέγεις ὅτι ἠδίκησέ με; πῶς ἢ Αγαμέμνονα, ὅτε ἀπέβανε δ' αὐτὸν; ¶ 607. Τί δ' οὐκ ἐκείνην] σὺκ εἰ τίθνηκας, τύτε αἰτία εἶ σύ. πῶς ἂν ἐδίωκες; ὥστε νῦν δὲ ἀποθανοῦσα, δία τ' ἐκ αἰτίαν ἀπέθανεν. ¶ 609. Εγὼ δὲ μητρὸς] ἐγὼ οὖν ὅμαιμός εἰμι τῇ μητρός; ¶ 611. Απεύχῃ] τὸν

Eum. Vatesne tibi author fuit ut matrem interficeres?
Orest. Adhuc quidem de fortuna mea non conqueror.
Eum. Verum si te corripuerit calculus, fortasse aliud dices.
Orest. Credo, sed a tumulo auxilia mittet pater.
Eum. Matrem interficiens mortuis confisus est.
Orest. Duorum enim inquinamentorum concursum habuit.
Eum. Quomodo? doce eos qui in his jus dicunt.
Orest. Maritum interficiens patrem meque interfecit.
Eum. Tu quidem vivis, illa autem a cæde libera.
Orest. Quid ergo eam vivam in exilium non fugasti?
Eum. Non erat consanguinea viri quem interfecit.
Orest. Egone vero sum matris meæ consanguineus?
Eum. Quomodo enim nutriit te, o homicida,
Intra zonam? abominaris charissimum maternum sanguinem?
Orest. Jam tu testimonium fer: indica autem mihi,
Apollo, si ipsam juste interfeci.
Fecisse enim, ut res est, non negamus;
Verum utrum juste necne tuo animo
Videatur hæc cædes facta, judica, ut hisce referam.
Apol. Referam vobis hanc Minervæ
Legem vere, vates cum sim non mentiar.
Nunquam dixi quid fatidicis in sedibus
De viro, muliere, aut urbe,
Quod Jupiter cœlestium pater non præcepit.
Hoc quidem jus quantum valeas edisce.
Vobis autem præcipio patris consilio obsequi.
Juramentum enim non prævalet Jovi.
Chor. Jupiter, ut tu ais, hoc oraculum protulit,
Ut diceres Oresti huic, quod patris necem
Ulciscens, matris pœnas nullatenus sustineret?
Apol. Non enim idem est, virum illustrem mori,
A Jove concessis sceptris nobilitatum,

Απεύχῃ] ἀπαρνῇ. ¶ 612. Ἤδη σὺ μαρτύρησον] ὡς ἀπορῶν τῆς ἀποκρίσεως. ἐπεὶ γὰρ ἦλθεν εἰς τὴν διάκρισιν τοῦ δικαίως ἢ μὴ ἀνῃρηκέναι τὴν μητέρα, ἐπὶ τὸν συμβουλεύσαντα θεὸν καταφεύγει. τεχνικὸν οὖν καὶ πρέπον, ὁμοειδές τε τὸ πάντα λέγειν. ¶ 618. Θεσμὸν] τὸν Ἀρεοπαγιτικόν. ¶ 621. Ὃ μὴ κελεύσει Ζεύς] ὥστε ἐμοὶ μὲν Ζεύς, ἐγὼ δὲ τούτῳ προσέταξα. οὐκ ἄνευ Διὸς τὸ γινόμενον. ¶ 622. Ὅσον σθένει μαθεῖν] ἀντὶ τοῦ, μάθε ὃ βούλει. ¶ 623. Πιφαύσκω δ' ὔμμε] κελεύω δὲ ὑμᾶς πεισθῆναι τῇ βουλῇ τοῦ Διός. ¶ 626. Φόνον πράξαντα] ἐκδικήσαντα. ¶ 629. Τιμαλφούμενον] συνεχὲς τὸ ὄνομα παρ' Αἰσχύλῳ· διὸ ὁ σκώπτει αὐτὸν Ἐπίχαρμος.

¶ 635.

Καὶ ταῦτα πρὸς γυναικὸς, οὗ τι θουρίας
Τόξοις ἐκηβόλευσιν, ὥστ' Ἀμαζόνος·
Ἀλλ' ὡς ἀκούσῃ Παλλὰς, οἵ τ' ἐφήμενοι
Ψήφῳ διαρρεῖν τοῦδε πράγματος πέρι.
Ἀπὸ στρατείας γάρ μιν ἠμπολημότα
Τὰ πλεῖστ' ἀμείνων εὐφρόνων δεδεγμένη
Δρύτῃ, περῶντι λυτρὰ, καπὶ τέρματι
Φᾶρος παρεσκήπησεν, ἐν δ' ἀτέρμοσι
Κόπτει πεδήσασ' ἄνδρα δαιδάλῳ πέπλῳ.
Ἀνδρὸς μὲν ὑμῖν οὗτος εἵρηται μόρος
Τοῦ παντοσίμου, τοῦ στρατηλάτου πάλαι.
Ταύτην τοιαύτην εἶπον, ὡς δηχθῇ λεώς,
Ὅσπερ τέτακται τῆνδε κυρῶσαι δίκην.
Χο. Πατρὸς προτιμᾷ Ζεὺς μέγοι, τῷ σῷ λόγῳ·
Λύτὸς δ' ἔδησε πατέρα πεισθύτην Κρόνον.
Πῶς ταῦτα τούτοις οὐκ ἐναντίως λέγως;
Ὑμᾶς δ' ἀκούειν ταῦτ' ἐγὼ μαρτύρομαι.
Απ. Ω παντομισῆ κνώδαλα, στύγη θεῶν,
Πίδας μὲν ἂν λύσειεν, ἔστι τοῦδ' ἄκος,
Καὶ κάρτα πολλὴ μηχανὴ λυτήριος.
Ἀνδρὸς δ' ἐπυδὰν αἷμ' ἀναπάσῃ κόνις
Ἅπαξ θανόντος, οὔτις ἐστ' ἀνάστασις.
Τούτων ἐπῳδὰς οὐκ ἐποίησεν πατὴρ
Οὐμὸς, τὰ δ' ἄλλα πάνθ' ἅτω τε καὶ κάτω
Στρέφων τίθησιν, οὐδὲν ἀσφαλὲς μένει.
Χο. Πῶς γὰρ τὸ φεύγειν τοῦδ' ὑπερδικεῖς ὅσα·
Τὸ μητρὸς αἷμ' ὅμαιμον ἐκχέας πέδῳ,
Ἕστηκ' ἐν Ἄργει δώματ' οἰκήσει πατρός;
Ποίοισι βωμοῖς χρώμενος τοῖς δημίοις;
Ποία δὲ χέρνιψ φρατόρων προσδέξεται;
Απ. Καὶ τοῦτο λέξω, καὶ μάθ' ὡς ὀρθῶς ἐγὼ.
Οὐκ ἔστι μήτηρ ἡ κεκλημένου τέκνου
Τοκεὺς, τροφὸς δὲ κύματος νεοσπόρου·
Τίκτει δ' ὁ θρώσκων, ἡ δ' ἄπερ ξένῳ ξένη

¶ 635. Τὰ πλεῖστ' ἀμείνω] βελτίω πλεῖστα Παρεσκήπησεν] ὡς ἐπιπλοκῇ τὸ ὦδε, ἢ ἐπιτυγχάνοντα ἀπὸ στρατιᾶς. ¶ 636. Δρύτῃ] πύλῃ ζυγίαν ἢ ἡμαῖον. Ἀτέρμοσι] ἀτραχήλῳ. ¶ 641. τῇ ὡς σοφῇ αὐτῷ γλώσσῃ. ὦδε δ' ἐν ἄλλοις ἐλέγετο γάρ Ταυτίῳ τοιαυτίῳ] τῷ Κλυταιμνήστρᾳ. Λεώς] οἱ δῆμοι αὐτοῦ. Κἀκκυρῶσαι] ἐπιτελέσαι, δηλονότι. ¶ 637. καταί. ¶ 643. Πατρὸς προτιμᾷ] ὡς λέγεις σύ, πατέρα

Idque a muliere, non validis
Arcubus longe-jaculantibus, tanquam Amazonis.
Verum (ut audies, Minerva, voſque qui ſedetis
Ad hanc litem calculo dirimendam)
A bello cum, adeptum
Pleraque meliora benevolis, recipiens
Lavatrina, abſoluto lavacro, ad finem
Veſtem prope ſtetit, ferit autem
Virum illigans vario, inextricabili peplo.
Hoc viri fatum vobis relatum eſt,
Venerandi viri, Navarchæ. *tur*) populus,
Hanc talem retuli, ut mordeatur *(ad indignationem movea-*
Qui conſtitutus eſt ad confirmandam hanc cauſam.

Chor. Patris fatum præfert Jupiter, ut videtur ex tuo ſermone:
Ipſe autem compedibus vinxit patrem vetulum Saturnum.
Quomodo hæc hiſce non contraria dicis?
Vos autem hæc ut audiatis conteſtor.

Apol. O abominanda animalia, Deorum odia!
Compedes quidem ſolvat, eſt hujuſce rei remedium,
Et plurimum artificium liberatorium:
Poſtquam vero viri ſanguinem attraxerit pulvis
Semel morientis, nulla amplius fit reſurrectio.
Horum incantamenta non conceſſit pater
Meus, alia vero omnia ſurſum deorſum
Verſat, non omnino anhelans.

Chor. Vide quomodo patrocinaris huic reo.
Matris ſanguinem conſanguineum effundens terra
Deinde Argis paternas ædes incolet?
Quibus uſus altaribus publicis?
Quæ contribulium pelvis hunc recipiet?

Apol. Et hoc quoque dicam, & attende quam recte dicam.
Mater non eſt partus appellati
Procreatrix, verum nutrix fœtus recens ſati.
Procreat ille qui rigat, hæc vero ut hoſpes hoſpiti

πατέρα σεσωσμένης μητρὸς ὁ Ζεύς. ¶ 645. Πῶς ταῦτα] ἢ τὰ Διὸς σεσίβητο κακῶ: αἰσῶν, ἀλλὰ τὰ Ἀπόλλωνα ὡς ψόφοις ἔμβραν ἐνίκησε. ¶ 646. Τιμᾶς] ὧν κεῖται. ¶ 655. Πῶς γὰρ τὸ φεύγων] ὅτι τὸ Ἀπόλλωνος ὑπολογίζει καταλύσειν Ὀρέστην. εἰ γὰ τὸ φοβᾶ νῦν τε τὸ φόνου ἀπαλλάξασθαι, πῶς Ὀρέστης φονεύσας ἐλεύθερωθήσεται; Ὀρα] σκόπει πῶς δικαίως Ὀρέστην φεύγει. ¶ 662. Κύμα] κύμασι. ¶ 663. Ὁ θρώσκων] ὁ σπερμαίνων. Ἡ δ' ἄπτερ ξύνη] ὡς παρακαταθήκη.

Εσωσιν ἔχτος, οἷσι μὴ βλάψῃ θεός.
Τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου.
Πατὴς μὲν ἂν γένοιτ' ἄτερ μητρὸς πέλας.
Μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διὸς,
Οὐδ' ἐν σκότασι νηδύος τεθραμμένη,
Ἀλλ' οἷον ἔρνος οὔτις ἂν τέκοι θεός.
Ἐγὼ δὲ, Παλλὰς, τἄλλα θ' ὡς ἐπίσταμαι,
Τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν,
Καὶ τόνδ' ἔπεμψα σῶν δόμων ἐφέστιον,
Ὅπως γένοιτο πιστὸς εἰς τὸ πᾶν χρόνου.
Καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεὰ,
Καὶ τοὺς ἔπειτα. καὶ τάδ' αἰανῶς μένοι
Στέργων τὰ πιστὰ τῶνδε τοὺς ἐπισπόρους.
Αθ. Ἤδη κελεύω τοὐμὸν ἀπὸ γνώμης φέρειν
Ψῆφον δικαίαν, ὡς ἄλις λελεγμένων.
Χο. Ἡμῖν μὲν ἤδη πᾶν τετόξευται βέλος.
Μένω δ' ἀκοῦσαι πῶς ἀγὼν κριθήσεται.
Αθ. Τί γάρ; πρὸς ὑμῶν πῶς τιθεῖσ' ἄμεμφος ὦ;
Χο. Ἠκούσαθ' ὧν ἠκούσαμεν, ἐν δὲ καρδίᾳ
Ψῆφον φέροντες, ὄχον αἰδεῖσθε, ξένοι.
Αθ. Κλύοιτ' ἂν ἤδη θεσμὸν Ἀττικὸς λεὼς,
Πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ.
Ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγέῳ στρατῷ,
Αἰεὶ δ' ἐκάστων τοῦτο βουλευτήριον.
Πάγον δ' Ἄρεως τόνδ' Ἀμαζόνες ἕδραν,
Σκηνάς θ', ὅτ' ἦλθον Θησέως κατὰ φθόνον
Στρατηλατοῦσαι, καὶ πόλιν νεόπτολιν
Τήνδ' ὑψίπυργον ἀντιπύργωσαν τότε·
Ἄρει δ' ἔθυον, ἔνθεν ἔστ' ἐπώνυμος
Πέτρα, πάγος τ' Ἄρειος· ἐν δὲ τῷ σέβας
Ἀστῶν, φόβος τε συγγενὴς τὸ μὴ δικεῖν
Σχήσει, τό, θ' ἡμαρ καὶ καθ' ἡμέραν ὁμῶς,
Αὐτῶν πολιτῶν μὴ 'πικαινόντων νόμους,
Κακαῖς ἐπιῤῥοαῖσι· βορβόρῳ δ' ὕδωρ
Λαμπρὸν μιαίνων, οὔ ποθ' εὑρήσεις ποτόν.
Τὸ μήτ' ἄναρχον μήτε δισποτούμενον

¶ 666. Πατὴς μὲν ἂν χρώιτο] χρωίσειν. ¶ 670. Ἐπισπόρους] ὁπηόνους. ¶ 677. Ἀπὸ γνώμης] ὁ δικαιοσύνης. Ἐγὼ δ', Παλλὰς] ὦ Παλλὰς. Ὡς ἐπίσταμαι] ὅσον δύναμαι. ¶ 675. Τάδ' αἰανῶς] δι' αἰῶνος. ¶ 676. Τί γὰρ, πρὸς ὑμῶν] τί τιθεῖσα, μιμοῦσιν παρ' ὑμῶν οὐκ ἀπορρώσω; ¶ 689. Φθόνον] μιασμὸν.

Servavit germen, quibus ne noceat Deus.
Signum hujuſce ſermonis monſtrabo tibi.
Pater quidem fiat ſine matre: vicinus
Teſtis adeſt filia cœleſtis Jovis,
Non in tenebris alvi enutrita,
Quale tamen germen nulla Dearum pariat.
Ego vero, Minerva, aliaque quemadmodum novero,
Urbem tuam & populum faciam magnum,
Et hunc miſi tuarum ædium incolam,
Fidus ut fiat in perpetuum.
Et hunc poſſideas fœderatum, o Dea,
Et poſteros: & hæc in æternum maneant
Horum fœdera ut amplectantur poſteri.

Min. Jam his præcipio ex animo ferre
Calculum juſtum, jam dictum eſt ſatis.

Chor. Nobis quidem jam omnis emiſſa eſt ſagitta:
Maneo ut audiam quomodo certamen hoc dijudicabitur.

Min. Quid enim? quomodo a vobis irreprehenſa ſim?

Chor. Audiviſtis quæ audiviſtis, in pectore vero
Sententiam ferentes juramentum reveremini, hoſpites.

Min. Audiatis jam legem populus Atticus,
Primæ cauſæ fuſi ſanguinis judices.
Manebit autem in poſterum populo Ægei,
Semper Judicum hæc erit curia.
Areopagum vero hunc, Amazonum ſedem,
Tentoriaque, quando venerunt ob iram in Theſeum
Bellum inferentes, & urbi huic
Turribus altis ſuperbæ turres oppoſuerunt:
Marti autem ſacrificarunt, unde nomen obtinet
Petra, & Areopagus: in hoc majeſtas
Civium timorque geminus ut injuria non fiat
Coercebit, dieque & noctu ſimul,
Ipſis civibus novitias non introducentibus leges
Malis acceſſionibus: cœno aquam
Limpidam inquinans, nunquam invenies potum.
Neque legibus ſolutam, neque tyrannis ſubditam

μὼν. ¶ 690. Νεόπολιν] ἢ Ἄρειον πάγον· ἐν αὐτῷ γὰρ ἐδίκη ἐν τῷ Ἀρείῳ πάγῳ. ¶ 693. Ἐν ᾗ τῷ σεβας] γὰρ ἐσχατοτέθεικε. σημείωσαι ὅτι πρώτη ὕβρι Ὀρέστης γέ- ὑ, ᾗ, ἀλλ' ᾗ, γάρ. ¶ 694. Μὴ ἀδικῶν] συνίζησις.

Αστῶις περιστέλλωσι βωλεύω σέβειν,
Καὶ μὴ τὸ δυνὸν πᾶν πόλεως ἔξω βαλεῖν.
Τίς γὰς δικαιῶς μηδὲν, ἔνδικος βροτῶν;
Τοιόνδε τω ταρβοῦντες ἐνδίκως σέβας,
Ερυμά τε χώρας, καὶ πόλεως σωτήριον
Εχοιτ' ἂν οἷον οὔτις ἀνθρώπων ἔχω
Οὔτ' ἐν Σκύθησιν, οὔτε Πέλοπος ἐν τόποις.
Κερδῶν ἄθικτον τοῦτο βωλευτήριον,
Αἰδοῖον, ὀξύθυμον, εὐδόντων ὕπερ
Εγρηγορὸς φρούρημα γῆς καθίσταμαι.
Ταύτην μὲν ἐξετεῖν ἐμοῖς παραίνεσιν
Αστοῖσιν εἰς τὸ λοιπόν. ὀρθοῦσθαι δὲ χρὴ,
Καὶ ψῆφον αἴρειν, καὶ διαγνῶναι δίκην,
Αἰδουμένους τὸν ὅρκον. εἴρηται λόγος.
Χο. Καὶ μὴν βαρεῖαν τήνδ' ὁμιλίαν χθονὸς
Ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι.
Απ Καὐγώ γε χρησμοὺς τοὺς ἐμοὺς τε καὶ Διὸς
Ταρβεῖν κελεύω, μηδ' ἀκαρπώτους κτίσαι.
Χο. Αλλ' αἱματηρὰ πράγματ' οὐ λαχὼν σέβεις,
Μαντεῖα δ' οὐκ ἴθ' ἀγτὰ μαντεύσῃ μέτα.
Απ. Η καὶ πατὴς τι σφάλλεται βουλευμάτων,
Πρωτακτόροισι προστροπαῖς Ιξίονος;
Χο. Λέγεις· ἐγὼ δὲ μὴ τυχοῦσα τῆς δίκης,
Βαρεῖα χώρᾳ τῇδ' ὁμιλήσω πάλιν.
Απ. Αλλ' ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις
Θεοῖς ἄτιμος εἶ σύ· νικήσω δ' ἐγώ.
Χο. Τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις·
Μοίρας ἔπεισας ἀφθίτους θεῖναι βροτούς.
Απ. Οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν,
Αλλως τε πάντως χ' ὥτι δεύμενος τύχοι;
Χο. Σύ τοι παλαιὰς δαίμονας καταφθίσας
Οἵῳ παρηπάτησας ἀρχαίας θεάς.
Απ. Σύ τοι τάχ', οὐκ ἔχουσα τῆς δίκης τέλος,
Εμὴν τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρύ.
Χο. Επεὶ καθαπτάζῃ με πρεσβύτιν τέος,
Δίκης γενέσθαι τῆσδ' ἐπήκοος μέτα,
Ως ἀμφίβουλος οὖσα θυμοῦσθαι πόλει.

¶ 700. Βωλεύω] συμβωλεύω τοῖς ἐμοῖς πολίταις Εὐδάντων ὕπερ] ‡ Σοφθανόντων. ¶ 721. Προστρεπαδημακρατεῖσθ μὲν, ὑπὸ φθόνου ἢ μὴ εἶναι. ¶ 708. ταῖς Ιξίονος] καθάρσεις † πρωτομυσῆ Ιξίονα. ¶ 722. Εγὼ

Retinentibus civibus meis conſulo venerari,
Et ſeveritatem omnem extra urbem non ejicere.
„Quis enim mortalium nihil metuens juſtus erit?
Talem juſte metuentes majeſtatem,
Regioniſque munimentum, & urbis ſalutem
Habeatis qualem hominum nemo obtinet,
Neque inter Scythas, nec in Pelopis locis:
A muneribus immunem hanc curiam,
Venerandam, ad iram promptam, pro dormientibus
Pervigil terræ præſidium conſtitui.
Hoc quidem conſilium extendi meis
Civibus in futurum: recte autem agere oportet,
Et calculum tollere, & litem determinare,
Reveritos juramentum. explicit ſermo.

Chor. Et quidem atrox hoc terræ commercium
Conſulo nullatenus ignominia afficere.

Apol. Ego quoque oracula & mea & Jovis
Timere jubeo, nec infructuoſa facere.

Chor. Verum res ſanguineas, non ſortitus, curas,
Oracula non amplius pura proferes hic moratus.

Apol. Numquid & pater erravit conſiliis
In expiatione primæ cædis ab Ixione factæ?

Chor. Ais. ego vero cauſam non conſecuta
Gravis admodum huic regioni converſabor iterum.

Apol. Verum inter juniores & veteres Deos
Inhonora es tu: vincam autem ego.

Chor. Talia feciſti etiam Pheretis in ædibus:
Perſuaſiſti fatis ut mortales facerent immortales.

Apol. Æquum eſt profecto venerantem beneficio afficere,
Maxime vero cum id roget.

Chor. Tu quidem veteres dæmonas corrumpens
Somno decepiſti veteres Deas.

Apol. Tu quidem ſtatim, non conſecuta cauſæ finem,
Evomes venenum inimicis tuis minime grave.

Chor. Quandoquidem inequitas mihi vetulæ juvenis,
Hujuſce cauſæ auditor manco,
Ut animi dubia iraſcar urbi.

Ἐγὼ δ' μὴ τυχοῦσα] ἐπ' ἀπηλὰς τρέπονται, ἀφιστᾶσι δικαιολογίαν. ¶ 733. Εμῆ † ἰὼν] ἐκβαίνεις τὴν ὀργὴν, νῦν δυναμὴν βλάψαι τοὺς ἐχθρούς. ¶ 734. Καθιππάζη] κατατρίχεις. ¶ 736. Ως ἀμφιβάλλω] ἀμφιβάλλεται. τίνος γὰρ ἐν ἀμφιβόλῳ ἴσται ἔχω τὸ ὀργίζεσθαι. ¶ 738.

Αθ. Ἐμὶν τόδ' ἔγγυον, λεισθίαν χρῆναι δίκην·
Ψῆφον δ' Ὀρέστῃ τήνδ' ἐγὼ προσθήσομαι.
Μήτηρ γὰρ οὔτις ἐστὶν ἥ μ' ἐγείνατο.
Τὸ δ' ἄρσεν αἰνῶ πάντα, πλὴν γάμου τυχεῖν,
Ἅπαντι θυμῷ, κάρτα δ' εἰμὶ τοῦ πατρός.
Οὕτω γυναικὸς οὐ προλιμήσω μόρον,
Ἀνδρα κτανούσης δωμάτων ἐπίσκοπον.
Νικᾷ δ' Ὀρέστης, κἂν ἰσόψηφος κριθῇ.
Ἐκβάλλετ' ὡς τάχιστα τευχέων πάλης,
Ὅσοις δικαστῶν τοῦτ' ἐπέσταλται τέλος.
Ορ. Ω Φοῖβ' Ἀπολλον, πῶς ἀγὼν κριθήσεται;
Εὐ. Ω Νὺξ μέλαινα μῆτερ, ἆρ' ὁρᾷς τάδε;
Νῦν ἀγχόνης μοι τέρμαθ', ἢ φάος βλέπειν·
Ἡμῖν γὰρ ἔρρειν, ἢ πρόσω τιμὰς νέμειν.
Απ. Πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων, ξένοι,
Τὸ μὴ δίκειν σίβοντες ἐν διαιρέσει.
Γνώμης δ' ἀπούσης πῆμα γίνεται μέγα.
Βαλοῦσά τ' οἶκον ψῆφος ἄρθωσει μία.
Αθ. Ἀνὴρ ὅγ' ἐκπέφευγεν αἵματος δίκην.
Ἴσον γάρ ἐστι τἀρίθμημα τῶν πάλων.
Ορ. Ω Παλλὰς, ὦ σώσασα τοὺς ἐμοὺς δόμους,
Καὶ γῆς πατρῴας ἐστερημένον σύ τοι
Κατῴκισάς με· καί τις Ἑλλήνων ἐρεῖ,
Ἀργεῖος ἀνὴρ αὖθις ἔν τε χρήμασιν
Οἰκεῖ πατρῴοις, Παλλάδος καὶ Λοξίου
Ἑκατι, καὶ τοῦ πάντα κραίνοντος τρίτου
Σωτῆρος, ὃς πατρῶον αἰδεσθεὶς μόρον,
Σώζει με, μητρὸς τάσδε συνδίκους ὁρῶν.
Ἐγὼ δὲ χώρᾳ τῇδε καὶ τῷ σῷ στρατῷ
Τὸ λοιπὸν εἰς ἅπαντα πλειστήρη χρόνον
Ὁρκωμοτήσας, νῶν ἄπειμι πρὸς δόμους,
Μήτοι τιν' ἄνδρα δεῦρο πρυμνήτην χθονὸς
Ἐλθόντ' ἐπείσειν εὖ κεκασμένον δόρυ.
Αὐτοὶ γὰρ ἡμεῖς ὅπλα ἐν τάφοις τότε,
Τοῖς τἀμὰ παρβαίνουσι νῶν ὀχώματα,

¶ 738. τλῶδ' ἐγὼ προσθήσομαι] ἐγὼ προσθήσω τλῶ ἐχάτλω ψῆφον. ἢ ὅτι ἀν ἴσαι ὦσιν), νικᾷ ὁ κατηγορικὸς Θ. ¶ 746. Ὅσοις δικαστῶν] ὁ ἀεὶ Θησεὺς τῶν Λεοπαγιτῶν λ ἢ εἷς. ¶ 749. Νῦν ἀγχόνης μοι] τῶν μοι ζωὴ ἢ θανάτε τέλος Θ. ¶ 750. Ἢ πρόσω τιμὰς] ἢ τὰς πρώην ἔχειν τιμάς. ¶ 752. Ἐν δικαίσει.] δικαίσει τῶν λόγων ἢ μελανῶν. ¶ 753. Γνώμης δ' ἀπούσης] γνώμης, ἀντὶ ᾧ, ψήφου. ὁ τρό-

Min. Hoc meum eſt opus, poſtremam litem dijudicare:
Calculum vero hunc Oreſti adjiciam:
Mater enim nulla eſt quæ me genuit.
Virilem ſexum in omnibus præterquam in nuptiis
Toto animo laudo, valde refero patrem.
Ideo mulieris non præfero fatum
Maritum interficientis ædium inſpectorem.
Vincit autem Oreſtes, ſi paria ſuffragia habere judicetur.
Quam primum ejicite ex alveis ſortes,
Quibuſcunque Judicum hoc mandatum eſt officium.
Oreſt. O Phœbe Apollo, quomodo certamen hoc dijudicabitur?
Eum. O Nox atra mater, numquid vides hæc?
Nunc mihi aut laqueo perire, aut lucem videre eſt:
Nobis enim vagari eſt, aut priores honores aſſequi.
Apol. Numerate recte ejectos calculos, hoſpites;
Juſtitiam in diſtributione venerantes.
Suffragio (*uno*) abſente damnum provenit magnum.
Evertit domum & reſtituit ſuffragium unum.
Min. Hic vir effugit ſanguinis litem:
Æqualis enim eſt numerus ſortium.
Oreſt. O Pallas, quæ ſervaſti ædes meas,
Patria terra orbatum tu
Me reſtituiſti: & Græcorum aliquis dicet,
Vir Argivus rurſus in opibus
Paternis habitat, Minervæ & Apollinis
Voluntate, & omnia perficientis tertii
Soſpitatoris, qui paternum veneratus fatum
Servat me, haſce cernens matris patrocinium agentes.
Ego vero regioni huic & exercitui tuo
Deinceps in omne tempus futurum
Fœdus juramento confirmans, nunc domum revertor,
Quod nunquam quiſquam Rex terræ huc
Veniet inferens bene exornatam haſtam.
Ipſi enim nos in ſepulcris tunc exiſtentes
Mea prætergredientes hoc tempore facta juramenta

ὁ τρίπους συνεκδοχή, ἀντὶ δὲ προηγουμένου τὸ ἀκέλευθον. ἢ γὰρ μέλλοντα βάλλειν ψῆφον δεῖ πρῶτον ἐν γνώμῃ φυίζης. ¶ 754. Βαλοῦσά τ' εἶσον] ἡ ψῆφος ἢ βαλεῖν τε ἢ ἐρῦσαι εἶσον δύναται. ¶ 756. Ισον γὰρ ἴσοι] καὶ ἴσαι ἢ φύονται αἱ ψῆφοι, ὁ κατηγορούμενος ἴσος. ¶ 764. Τάνδε συνδίκως] τὰς συνηγόρους Εὐμενίδας. ¶ 768. Πεμπτίτων] κυβερνητῶν, ἄρχοντας.

¶ 772.

Αμηχάνοισι πράξομεν δυσπραξίας
Οδοὺς ἀθύμους, καὶ παρόρνιθας πόρους
Τιθέντες, ὡς αὐτοῖσι μεταμέλῃ πόνος·
Ορθουμένων δὲ καὶ πόλιν τὴν Παλλάδος
Τιμῶσιν αἰεὶ τήνδε συμμάχῳ δορὶ,
Αὐτοῖσιν ἡμεῖς ἐσμεν εὐμενέστεροι.
Καὶ χαῖρε καὶ σὺ, καὶ παλισσοῦχος λεὼς,
Πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις,
Σωτήριόν τε καὶ δορὸς παγκάρπου.

Σύστημα.

Χο. Ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους
Καθαπτάσασθε, καὶκ χερῶν εἵλεσθέ μου.
Ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύκοτος,
Ἐν γᾷ τᾷδε, φεῦ,
Ἰεὺ, ἰού, ἀντιπαθῆ
Μεθεῖσα καρδίας σταλαγμὸν
Χθονιαφόρον· ἐκ δὲ τοῦ,
Λιχὴν ἄφυλλος, ἄτικτος,
(Ἰὼ δίκα) πέδον ἐπισσυμένος
Βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖν.
Στειάζω; τί ῥέξω;
Γέναμαι; δύσοιστα
Πολίταις ἔπαθον,
Ἰὼ, μεγάλα τα
Κόραι δυστυχεῖς
Νυκτὸς ἀτιμοπωθεῖς.

ΙΑΜΒΟΙ.

Αθ. Ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν.
Οὐ γὰρ νενίκησθ', ἀλλ' ἰσόψηφος δίκη
Ἐξῆλθ' ἀληθῶς, οὐκ ἀτιμίᾳ σέβεν.
Αλλ' ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν,
Αὐτός θ' ὁ χρήσας, αὐτὸς ἦν ὁ μαρτυρῶν,
Ως ταῦτ' Ορέστην δρῶντα μὴ βλάβας ἔχειν.

¶ 772. Περίξομεν] τυμπεκτόμεθα. ¶ 773. Καὶ οἷς πίπτουθα. ¶ 786. Μεθεῖσα] ἀντὶ δ, μεθέσα. παρόρνιθας πόρους] ἀπαισίους. ¶ 775. Ορθουμένων] μετοχὴ ἀντὶ ῥήματος. ὡς τὸ, Καρπῷ βεβουλῆσθαι· ἀντὶ βουλομένων. ¶ 779. Πάλαισμα] τῶν ἐμῶν ἀπευχεῖαι. ¶ 785. Αντιπαθῆ] ἰσοπαθῆ, ὁμοια δρῶντα 787. Χθονιαφόρον] τὸν εἰς τὴν γῆν φερόμενον. ¶ 788.

Non evitandis comminiſcemur infortuniis
Vias moleſtas, & infauſta itinera
Faciemus, ita ut ipſis pœniteat laboris.
Recta ſtatuentibus & urbem hanc Palladis
Honorantibus perpetuo confœderata haſta
Ipſis nos erimus magis benevoli.
Salve & tu etiam, & populus urbis incola,
Auxilium hoſtibus non vitandum habeas,
Soſpitatoremque & haſta victorioſum.

Syſtema.

Chor. Eheu! Dii juniores antiquis legibus
Inequitaſtis, & e manibus abſtuliſtis meis.
Ego vero inhonora, miſera, ira exardeſcens,
In hac terra, heu!
Eheu! eheu luctuoſam
Cordis gutram dimittam
Terrena corrumpentem! ex ea vero
Lichen infrugifer, illiberis,
(Eheu Juſtitia!) in terram irruens
Mortalium-corruptrices maculas in regione projiciet.
Ingemiſcam? quid faciam,
Aut ſim? mala non ferenda
Civibus paſſa ſum,
Eheu! grandia quidem,
Filiæ infelices
Noctis inhonore lugentes.

IAMBI.

Min. Mihi obtemperate ægre hæc non ferre.
Non enim victæ eſtis, verum paribus ſuffragiis cauſa
Exiit revera, non in infamiam tui.
Præterea a Jove clara aderant teſtimonia,
Ipſe etiam oracula reddens, ipſe aderat teſtis,
Quod hæc Oreſtes perpetrans damnum non ferret.

788. Αφυκ&-] ἀκέρσεις. ¶ 789. Ιὼ δίκα] τῦτο τιμωρίαν τεχνικῶς. εἰκὼν γὰρ, δύσεισα ἴκαδον, ἐκπάγλως μέσον ὀλοφυρόμθα ἀναφανδὸν. ¶ 792. Γίνομαι] λείπει ὁ, ἢ, διαζευκτικός. ἢ τί γρώμαι; ¶ 793. Πολίτας] ὑπὸ τῶ πολιτῶν ἴκαδον ἐμιξε τῷ θελώσα τὸν πολίτας· ἵνα ᾖ, πολίταις δύσεις ἐδίκα. ¶ 795. Κόραι δυσνυχεῖς] κόραι Νυκτός. ¶ 800. Αλ' ὁκ Διὸς γὰρ] ἔφασκε γὰρ ὁ Απόλλων χώμη Διὸς μαντεύ &c. ¶ 805.

Υμῖς δὲ τῇ γῇ τῇδε μὴ βαρὺν κότον
Σκήψησθε, μὴ θυμοῦσθε, μηδ' ἀκαρπίαν
Τεύξητ', ἀφεῖσαι δαιμόνων σταλάγματα,
Βρωτῆρας αἰχμὰς σπερμάτων ἀτιμίους.
Ἐγὼ γὰρ ὑμῖν παιδίκως ὑπίσχομαι
Εὖρας τε καὶ κευθμῶνας ἐνδίκου χθονὸς,
Λιπαροθρόνοισιν ἡμένας ἑπ' ἰσχάραις,
Ἕξειν, ὑπ' ἀστῶν τῶνδε τιμαλφουμένας.

Ανάληψις.

Χο. Ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους
Καθιππάσασθε, κἀκ χερῶν εἵλισθέ μου.
Ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύκοτος,
Ἐν γᾷ τᾷδε, φεῦ,
Ἰοὺ, ἰοὺ, ἀντιπαθὴ
Μεθεῖσα καρδίας σταλαγμὸν
Χθονιαφόρον τ' ἐκ δὲ τοῦ,
Λιχὴν ἄφυλλος, ἄτεκνος,
(Ἰὼ δίκα) πέδοι ἐπισσυμένους
Βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖν.
Στενάζω, τί ῥέξω;
Γένωμαι; δύσιστα
Πολίταις ἔπαθον,
Ἰὼ, μεγάλα τοι
Κῆραι δυστυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.

ΙΑΜΒΟΙ.

Αθ. Οὐκ ἔστ' ἄτιμοι, μηδ' ὑπερθύμως ἄγαν
Θεαὶ βροτῶν στήσητε δύσκηλον χθόνα.
Κἀγὼ πέποιθα Ζηνὶ, καὶ τί δεῖ λέγειν;
Καὶ κλῆδας οἶδα δωμάτων μόνη θεῶν,
Ἐν ᾧ κραυτὸς ἐστιν ἐσφραγισμένος·
Ἀλλ' οὐδὲν αὐτοῦ δεῖ· σὺ δ' εὐπειθὴς ἐμοὶ
Γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα
Καρπὸν φέροντα πάντα μὴ πράσσειν καλῶς.
Κοίμα κιλαινοῦ κύματος πικρὸν μένος,

805 Σταλάγματα] γράφεσι σταγμαῖα. σταλάγματα δέ εἰσιν αἱ χμαὶ βιβρώσκουσαι τὰ σπέρματα. ¶ 820.

Vos autem huic terræ ne graviter
Iraſcamini, ne indignemini, neque ſterilitatem
Immittatis, dimittentes dæmonum ſtillas,
Cuſpides agreſtes exeſuras ſemina.
Ego enim vobis juſtiſſime ſpondeo
Quod ſedes & latibula juſtæ terræ,
Nitidos ſedentes ad focos,
Habebitis, ab his civibus plurimum cultæ.

Repetitio.

Chor. Eheu! Dii juniores antiquis legibus
Inequitaſtis, & e manibus abſtuliſtis.
Ego vero inhonora, miſera, ira exardeſcens,
In hac terra, heu!
Eheu! eheu luctuoſam
Cordis guttam dimittam
Terrena corrumpentem! ex ea vero
Lichen infrugifer, illiberis,
(Eheu Juſtitia!) in terram irruens
Mortalium-corruptrices maculas in regione projiciet.
Ingemiſcam? quid faciam,
Aut ſim? mala non ferenda
Civibus paſſa ſum,
Eheu! grandia quidem,
Filiæ infelices
Noctis inhonore lugentes.

IAMBI.

Min. Non eſtis inhonoræ, neque iracunde admodum
Deæ mortalium terram vix ſanandam ſtatuatis.
Ego quoque Jovi freta ſum, & quid attinet dicere?
Etiam Deorum unica claves ædium novi,
Ubi fulmen eſt obſignatum:
Verum eo non opus eſt: tu vero mihi obſecuta
Linguæ petulantis fructum ne ejicias in terram,
Qui cauſæ ſit omnia ut infauſte eveniant.
Quieſcere fac atri fluctus acerbum robur,

¶ 820. Βαλεῖν] λείψω, ἰμπεσῶσι. ¶ 828. Δύσκηλοι] πεισθῦτα κακῶς πράττειν. ¶ 835. Κοίμα] κοίμιζε. δυσθεράπευτον. ¶ 834. Καρπὸν φέροντα] ἢ πάντα Παιδὸν μὴ σὸν] ἢ θυμόν.

Ως σεμνότιμος καὶ ξυνοικήτωρ ἐμοί·
Πελλῆς δὲ χώρας τῆσδε τἀκροθίνια
Θύη, πρὸ παίδων καὶ γαμηλίου τέλους
Ἔχουσ', ἐς αἰεὶ τόνδ' ἐπαινέσεις λέγων.

Σύστημα.

Χο. Ἐμὲ παθεῖν τάδε, φεῦ, 840
Ἐμὲ παλαιόφρονα κατὰ γᾶν οἰκεῖν,
Ἀτίετον, φεῦ, μύσος.
Πνέω τοι μέγος, ἅπαντά τε κέτον.
Οἷ οἷ, δᾶ φεῦ.
Τίς μ' ὑποδύεται 845
Πλευρὰς ὀδύνα;
Θυμὸν ἄϊε, μᾶτερ
Νύξ. ἀπὸ γάρ με τιμᾶν δαμίαν
Θειῶν δυσπάλαμοι
Παρ' οὐδὲν ἦραν δίκαι. 850

ΙΑΜΒΟΙ.

Ἀθ. Ὀργὰς ξυνοίσω σοι· γεραιτέρα γὰρ εἶ.
Καίτοι γεμὴν σὺ κἀρτ' ἐμοῦ σοφωτέρα,
Φρονεῖν δὲ κἀμοὶ Ζεὺς ἔδωκεν οὐ κακῶς.
Ὑμεῖς δ' ἐς ἀλλέφυλον ἐλθεῦσαι χθόνα,
Γῆς τῆσδ' ἐρασθήσεσθε· προὐννέπω τάδε. 855
Οὐ πιῤῥέων γὰρ τιμιώτερος χρόνος
Ἔσται πολίταις τοῖσδε. καὶ σὺ τιμίαν
Ἕδραν ἔχουσα πρὸς δόμοις Ἐρεχθέως,
Τεύξῃ παρ' ἀνδρῶν καὶ γυναικείων στόλων,
Οσην παρ' ἄλλων οὔποτ' ἂν σχέθοις βροτῶν. 860
Σὺ δ' ἐν τόποισι τοῖς ἐμοῖσι μὴ βάλῃς
Μήθ' αἱματηρὰς θηγάπας σπλάγχνων βλάβας
Νέων, ἀοίνοις ἐμμανεῖς θυμώμασι·
Μηδ' ἐξελεῦσ' ὡς καρδίαν ἀλεκτόρων,
Ἐν τοῖς ἐμοῖς ἀστοῖσιν ἰδρύσῃ κάρα 865

¶ 836. Ως σεμνότιμο-] λείπει, ἰσομέν. ¶ 837. Τἀκροθίνια] ὡς πρωτίλεια θυόντων Ἀθίνῃσι τ̃ ἰσμηνίοι. ¶ 838. Γαμηλίου τέλους] ὃ γάμευ. ¶ 842. Ἀτίετον] ἀνεκδίκητον, τιμωρεῖσθ μὴ δυναμβίων. ¶ τὸ ϗ φεῦ, δᾷ μέσευ ἀναφωνεῖ. ¶ 843. Πνέω τοι μέγ-] ὀργὴν ϗ ἅπαντα κότον πνέω. ¶ 844. Δᾶ] ὦ γᾶ, Δωρικῶς. ἔδην ϗ Δαμάτηρ. ¶ 848. Δαμίαν] ϔ δημοσίαν. ¶ 850. Ἦραν δίκαι] αἱ δίκαι γάρ

Ut veneranda, & mecum contubernalis:
Magnæ hujuſce regionis præcipuæ victimæ
Tibi mactabuntur, puerorum & nuptiarum præſes
Hunc in æternum laudabis ſermonem.

Syſtema.

Chor. Me hæc pati, eheu!
Me vetulam terram incolere
Inhonoram, heu facinus!
Spiro robur iramque totam.
Hoi, hoi, terra, eheu!
Quis ſubit
Latera mea dolor?
Iracundiam audi, mater
Nox: a me enim honorem publicum
Deorum fraudulenti
Facile ſuſtulerunt doli.

IAMBI.

Min. Iram tibi condono: ſenior enim es.
Et quidem tu multo me ſapientior es,
Verum & mihi ſapere dedit Jupiter non parce.
Vos autem in extraneam venientes regionem,
Hanc terram diligetis: hæc prædico.
Futurum enim tempus honorabilius erit
Civibus hiſce: & tu venerabilem
Sedem retinens apud ædes Erechthei,
Conſequeris a viris & fœmineo ornatu
Qualem ab aliis mortalibus nunquam obtineas.
Tu vero in locis noſtris ne ejicias
Neque ſanguineas corruptrices viſcerum juvenilium
Pœnas, furentes ira a vino non excitata:
Neque accendens tanquam cor gallorum,
Inter cives meos ſtatuas bellum

τῶ τ θεῶν ὡς νόμ παρῆκέν με τ δημοσίων τιμῶν. ¶ 851. Ξυνείσω] φέρειν σε τὰς ἐρχάς. ¶ 852. Σοφωτέρα] ἀφ τ χρόνου. ¶ 854. Ἐλθοῦσαι χθόνα] λιπόσαι δ, καί. ¶ 855. Τῆς τοῦδ ἱερωδήσεως] αὐτῶ δ, μεγάλως ἔσεσθ) λθήναῖοι, ὥσε θαυμάσεσθ τ ἐξ αὐτῶν τιμᾶς. ¶ 862. Θηγάνας νέον] τὰς ἀναλίσκας τὰ νία. ¶ 863. Θυμώμασι] ἐρχαῖς. ὅτι ἡ οἰνωθέντες, τέρπου τινὰ γένοσ) ἰμμανεῖς. ¶ 864. Ἐξελθοῦσα] ἀναπλερώσασα. μάχιμον γὰρ τὸ ἔριεν τ τε ἄλλων ζώων τὸ συγγενὶς αἰδημόνων, μάνθ ὁ φείδ). ¶ 867.

Εμφύλιον τε καὶ πρὸς ἀλλήλους θρασύν.
Θυραῖος ἔστω πόλεμος, οὐ μόλις πάρων,
Ἐν ᾧ τις ἔσται δυὸς εὐκλείας ἔρως·
Ἐνακίῳ δ' ὄρνιθος οὐ λίγω μάχην.
Τοιαῦθ' ἑλέσθαι σοι πάριστιν ἐξ ἐμοῦ,
Εὖ δρῶσαι, εὖ πάσχουσαι, ὦ τιμωμένη,
Χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης.

Ἀνάληψις.

Χο. Ἐμὲ παθεῖν τάδε, φεῦ,
Ἐμὲ παλαιόφρενα κατὰ γᾶν εἰκεῖν
Ἀτίετον, φεῦ, μύσος.
Πνέω τοι μένος, ἄπαντά τε κότον.
Οἴ οἴ, δᾶ φεῦ.
Τίς μ' ὑποδύεται
Πλευρὰς ὀδύνα;
Θυμὸν ἄϊε, μᾶτερ
Νύξ. ἀπὸ γάς με τιμᾶν δαμίαν
Θεῶν δυσπάλαμον
Παρ' οὐδὲν ἦγαν δόλοι.

ΙΑΜΒΟΙ.

Αθ. Οὔτοι καμοῦμαί σοι λέγουσα τἀγαθά·
Ὡς μήποτ' εἴπῃς, πρὸς νεωτέρας ἐμοῦ
Θεὸς παλαιὰ, καὶ πολισσούχων βροτῶν,
Ἄτιμος ἔρρειν τοῦδ' ἀπόξενος πέδου.
Ἀλλ' εἰ μὲν ἁγνὸν ἐστί σοι πειθοῦς σέβας,
Γλώσσης ἐμῆς μείλιγμα καὶ θελκτήριον,
Σὺ δ' οὖν μένοις ἄν· εἰ δὲ μὴ θέλεις μένειν,
Οὔτ' ἂν δικαίως τῇδ' ἐπιρρέποις πόλει
Μήτ' αὖ σὺ τιν' ἢ κότον τιν', ἢ βλάβην στρατῷ.
Ἐξεστι γάς σοι τῆδέ γ' εὐμοίρου χθονὸς
Εἶναι δικαίως ἐς τὸ πᾶν τιμωμένη.
Χο. Ἀτασσ' Ἀθάνα, τίνα με φῆς ἔχειν ἕδραν;
Αθ. Πάσης ἀπήμον' οἰζύος· δέχου δὲ σύ.
Χο. Καὶ δὴ δέδεγμαι· τίς δέ μοι τιμὴ μένει;
Αθ. Ὡς μή τ' οἶκον εὐσθενεῖν ἄτευ σέθεν.

¶ 867. Οὐ μόλις παρὼν] ἡ μαχεάν. ¶ 869. Φυλον πόλεμον. ¶ 885. Πρὸς νεωτέρας] τὸ ἐξῆς, Θεὸς παλαιὰ πρὸς νεωτέρας ἐμοῦ, καὶ πολισσούχων βροτῶν, Ἐνακίῳ δ' ὄρνιθος] Τ' ὠνακίτων πολιτῶν. ὅ ἐστιν, ἐμοῦ

Et civile, & inter ſe invicem atrox.
Extraneum ſit bellum, non omnino præſens,
In quo fuerit magnus gloriæ amor.
Domeſticæ vero avis non dico pugnam.
Talium optionem facere tibi licet a me,
Bene facientem, beneficio affectam, plurimum cultam;
Participem fore hujuſce regionis Diis chariſſimæ.

Repetitio.

Chor. Me hæc pati, cheu!
Me vetulam terram incolere
Inhonoram*, heu facinus!
Spiro robur iramque totam.
Hoi, hoi, terra, cheu!
Quis ſubit
Latera mea dolor?
Iracundiam audi, mater
Nox: a me enim honorem publicum
Deorum fraudulenti
Facile ſuſtulerunt doli.

IAMBI.

Min. Non gravabor tibi fauſta dicere:
Ut nunquam dicas te, a juniore me
Deam antiquam, & a mortalibus civitatum incolis,
Ingloriam errare hoc ſolo privatam.
Verum ſi quidem tibi chara ſit Suadæ veneratio,
Linguæ meæ delinimentum,
Tu maneas (*hic:*) ſi autem manere nolis,
Non juſte huic urbi inferas
Odium iramve, aut damnum populo.
Licet enim tibi hujuſce terræ participi
Eſſe in æternum juſte cultæ.
Chor. Regina Minerva, quam dicis me habituram ſedem?
Min. Ab omni illæſam ærumna: tu vero admitte.
Chor. Et quidem admitto: quis vero honor me manet?
Min. Ut nulla domus ſine te proſpera ſit.

παλαιὰ ἄτιμος ἰόντων. ¶ 888. ΑΘ. εἰ μὲν] εἰ πείθοι τὸ καταλιχθέντων ἀγαθῶν μεταλάμβανε· εἰ δὲ μὴ πείθοι τῷ μειλίγματι τὸ ἰσῆς γλώσσης, ταράσσειν, καὶ θοᾶ, ἴδοι μὴ βλάψασα πόλιν.

Χο. Σὺ τοῦτο πράξεις, ὥστέ με σθένειν τόσον;
Αθ. Τῷ γὰρ σέβοντι συμφορὰς ὀρθώσομεν.
Χο. Καί μοι πρὸ παντὸς ἐγγύην θήσῃ χρόνου;
Αθ. Ἔξεστι γάρ μοι μὴ λίγειν ἃ μὴ τελῶ.
Χο. Θέλξειν μ' ἔοικας, καὶ μεθίσταμαι κότου.
Αθ. Τοὶ γὰρ κατὰ χθὸν' οὖσ' ἐπατήσῃ φίλους.
Χο. Τί οὖν μ' ἄτωγας τῇδ' ἐφυμνῆσαι χθονί;
Αθ. Οποῖα νίκης μὴ κακῆς ἐπίσκοπα,
Καὶ ταῦτα γᾶθεν, ἔκ τε ποντίας δρόσου,
Ἐξ οὐρανοῦ τε, καὶ νέμων ἀήματα,
Εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα·
Καρπόν τε γαίας καὶ βροτῶν ἐπίῤῥυτον,
Αστοισιν εὐθυοῦντα μὴ κάμπτειν χρόνῳ,
Καὶ τῶν βροτείων σπερμάτων σωτηρίαν.
Τῶν δυσσεβούντων δ' ἐκφορατέρα πέλοις.
Στέργω γὰρ ἀνδρὸς φῖτυ ποιμένος δίκην,
Τὸ τῶν δικαίων τῶνδ' ἀπέιθητον γένος.
Τοιαῦτα σοῦ 'στι. τῶν ἀρειφάτων δ' ἐγὼ
Πρεπτῶν ἀγώνων, οὐκ ἀτέξομαι τὸ μὴ οὐ
Τήνδ' ἀστύπαιν ἐν βροτοῖς τιμᾶν πόλιν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

στροφὴ α.

Χο. Δίξομαι Παλλάδος ξυνοικίαν,
Οὐδ' ἀτιμάσω πόλιν,
Τὰν καὶ Ζεὺς ὁ παγκρατὴς, Αρης τε
Φρούριον θεῶν νέμει,
Ρυσίβωμον Ελλά-
νων ἄγαλμα δαιμόνων.
Α τ' ἐγὼ κατεύχομαι
Θεσπίσασα πρευμενῶς
Επισσύτους βίᾳ τύχας ὀνησίμους
Γαίας ἐξαμβρόσαι
Φαιδρὸν ἁλίᾳ σέλας.

ΑΝΑΠΑΙΣΤΟΙ.

Αθ. Τάδ' ἐγὼ προφρόνως τοῖσδε πολίταις
Πράσσω, μεγάλας καὶ δυσαρίστους

Chor. Tune hoc facies, ut ego tantum valeam?
Min. Colenti enim caſus tribuemus fauſtos.
Chor. Numquid & mihi ſpondebis in omne tempus?
Min. Non enim mihi licet dicere quæ non perficio.
Chor. Pene me deliniſti, & recedo ab ira.
Min. Hanc igitur terram incolens obtinebis amicos.
Chor. Quid ergo me jubes huic urbi exoptare?
Min. Qualia ad victoriam non malam ſpectant;
Et hæc e terra, & a marino rore,
Et a cœlo, ventorumque flatus
Claro Sole ſpirantes accedere terræ,
Fructumque terræ & pecudum uberem
Civibus abundantem non marceſcere tempore,
Mortaliſque ſeminis ſalutem.
Impiis autem iracundior ſis.
Diligo enim viri germen paſtoris inſtar,
Juſtorum horum dolore liberum genus.
Hæc ad te pertinent. quod vero ad celebria
Egregia attinet certamina, curabo ego
Hanc victorioſam inter mortales celebrare urbem.

ANTISTROPHICA.

Strophe 1.

Chor. Recipiam Palladis contubernium,
Neque ignominia afficiam urbem
Quam & Jupiter omnipotens, & Mars,
Præſidium Deorum ſtatuit,
Liberans per altaria Græcos
Delectamentum Deorum.
Ita ego precor
Vaticinans benevole
Futuros vitæ eventus utiles,
Agro feliciter affluere
Splendidum Solis jubar.

ANAPÆSTI.

Min. Hæc ego lubenter horum civium gratia
Ago, magnas & difficulter placandas.

Δαίμονας αὐτοῦ καταπασσαμίη.
Πάντα γὰρ αὗται τὰ καθ' ἁθρώπους
Ελαχον διέπειν.
Ο δὲ μὴ κύρσας βαρέαν τούτων,
Οὐκ οἶδεν ὅθεν πληγαὶ βιότου.
Τὰ γὰς ἐκ πρατέρων ἀμπλακήματά τιν
Πρὸς τάσδ' ἀπάγει, σιγῶν ἕλκεθρος,
Καὶ μέγα Φαιοῦν-
τ' ἐχθραῖς ὀργαῖς ἀμαθύνει.

ἀντιστροφὴ α.

Χο. Δενδροπήμων δὲ μὴ πτέοι βλάβα,
Τὰν ἐμὰν χάριν λέγω·
φλογμός τ' ἐματοστιχὴς φυτῶν,
Τὸ μὴ περᾶν ὅρον τόπαν,
Μηδ' ἄκαρπος αἰα-
νὴς ἐφερπέτω νόσος,
Μηλά τ' εὐθενοῦντ' ἄγαν,
Ξὺν διπλοῖς ἐμβρύοις,
Τρίφυλ χρόνῳ τεταγμένῳ γένος
Πλουτόχθων ἑρμαίαν
Δαιμόνων δόσιν τίοι.

ΑΝΑΠΑΙΣΤΟΙ.

Αθ. Η τάδ' ἀκούετε, πόλεως φρούριον,
Οἵ' ἐπαρεῖ μέγα γὰρ δύναται
Πότνι' ἐρινὺς παρά τ' ἀθανάτοις,
Τοῖς θ' ὑπὸ γαῖαν, περί τ' ἀνθρώπων
Φανερῶς τελέως διαπράσσουσι,
Τοῖς μὲν ἀοιδὰς, τοῖς δ' αὖ δακρύων
Βίον ἀμβλαπτὸν παρέχουσαι.

στροφὴ β.

Χο. Ανδροκμῆτας δ' ἀώ-
ρους ἀπενέπω τύχας,
Νεανίδων τ' ἐπηράτων
Ανδροτυχεῖς βιότους
Δότε, κύριʼ ἔχοντες

¶ 949. Γίνου] τὰ σπέρματα. ¶ 950. Πλουτόχθων] ὁ ἐκ γῆς πλουτίζων καρπός.

Deas vincens.
Hæ enim omnia quæ ad homines pertinent
Sortito adminiſtrant.
Qui vero non impingit in atroces haſce,
Non novit unde vitæ morbi.
Priorum enim peccata eum
Ad has ducunt, tacita mors,
Etiam magna gloriantem
Hoſtili ira perdunt.

Antiſtrophe 1.

Chor. Arboribus autem noxium ne ſpiret damnum,
Meum beneficium dico:
Ardorque germina plantarum corrumpens
Ne tranſeat terminum locorum,
Nec infructuoſus acerbus
Adrepat morbus,
Oveſque partu admodum felices
Cum gemello fœtu
Nutriat (*terra*) ſtato tempore. Proles
Uber fortunatum
Deorum munus honoret.

ANAPÆSTI.

Min. Hæc audite, o Urbis præſidium (*Areopagitæ*)
Qualia perficiet: plurimum enim poteſt
Veneranda Erinnys apud immortales,
Inferoſque, circaque homines
Manifeſto perfecte agunt,
Hiſce quidem cantus (*vitam jucundam*) aliis vero lacrymarum
Vitam triſtem reddentes.

Strophe 2.

Chor. Viros autem tollentem intempeſtivam
Prohibeo fortunam,
Juvencularumque amabilium
Maritalem vitam
Concedite vos quæ poteſtatem habetis

¶ 952. Πόλεως φρούριον] ὦ Ἀρεοπαγῖται.

Θεαὶ, τῶν μοῖραι
Ματροκασιγνῆται,
Δαίμονες ὀρθοτόμοι,
Παντὶ δόμῳ μετάκοποι,
Παντὶ χρόνῳ δ' ἐπιβριθεῖς,
Ενδίκοις ὁμιλίαις
Πάντα τιμιώταται θεῶν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Αθ. Τάδε τοι χάρα
Τῇ μὴ προφρόνως ἐπιχαιρομέναν
Γάνυμαι· στέργω δ' ὄμματα πεθοῦς,
Οτι μοι γλῶσσαν καὶ στόμ' ἐπαπᾷ
Πρὸς τάσδ' ἀγρίως ἀπαγγελίας·
Αλλ' ἐκράτησε Ζεὺς ἀγοραῖος.
Νικᾷ δ' ἀγαθῶν
Εξις ἡμετέρα διὰ παντός.

ἀντιστροφὴ β.

Χο. Τάνδ' ἄπληστον κακῶν
Μήποθ' ἐν πόλει στάσιν
Τᾷδ' ἐπεύχομαι βρέμειν.
Μηδὲ πιοῦσα κόνις
Μέλαν αἷμα πολιτᾶν,
Δι' ὀργὰν ποινὰς
Αντιφόνους ἄτας
Αρπαλίσαι πόλεως.
„Χάρματα δ' ἀντιδοῖεν
„Κοινωφελεῖ διανοίᾳ,
„Καὶ στυγεῖν μιᾷ φρενί.
„Πολλῶν γὰρ τόδ' ἐν βροτοῖς ἄκος

ΑΝΑΠΑΙΣΤΟΙ.

Αθ. Αρα φρονοῦσι γλώσσης ἀγαθῆς
Οδὸν εὑρίσκει.
Εκ τῶν φοβερῶν τῶνδε πρόσωπον
Μέγα κέρδος ὁρῶ τοῖσδε πολίταις.
Τάσδε γὰρ εὐφρόνας εὔφρονες αἰεὶ
Μέγα τιμῶντες, καὶ γᾶν, καὶ πόλιν

Deæ, quarum Fata
Materteræ,
Deæ recte res diſtribuentes,
Omni domui communes,
Omni tempore graves,
Juſtis commerciis
Omnino Dearum maxime venerandæ.

ANAPÆSTI.

Min. Hæc regioni
Meæ lubenter perficientibus
Lætor; diligo autem Suadam,
Quod mihi linguam & os inſtruxerit
Adverſus has ferociter renitentes:
Verum victor evaſit Jupiter Forenſis.
Vincit bonorum
Contentio noſtra in perpetuum.

Antiſtrophe 2.

Chor. Malis non ſatiatam
Nunquam in urbe hac ſeditionem
Fremere velim.
Neque hauriat pulvis
Atrum cruorem civium,
Ob iram pœnas
Viciſſim ſe vindicantes noxas
Auferre ab urbe.
„Gaudia concedant
„Communi animo,
„Et odiſſe una mente:
„Multorum enim inter mortales hoc eſt remedium.

ANAPÆSTI.

Min. Sapientibus igitur linguæ bonæ
Viam invenit.
Ex terrificis hiſce perſonis
Magnum lucrum video (*adfuturum*) civibus.
Has enim benevolas benevoli ſemper
Valde colentes, & terram & urbem

Ορθοδίκαιον
Πρέψετε πάντες διάγοντες.

στροφὴ γ.

Χο. Χαίρετ' ἐν αἰσιμίαις πλούτου,
Χαίρετ' ἀστυκὸς λεὼς,
Ἰκταρ ἥμενοι Διὸς,
Παρθένου φίλας φίλοι
Σωφρονοῦντες ἐν χρόνῳ.
Παλλάδος δ' ὑπὸ πτεροῖς
Οντας ἅζεται πατήρ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Αθ. Χαίρετε χ' ὑμεῖς· προτέραν δέ με χρὴ
Στίχων θαλάμους ἀποδίξασαι,
Πρὸς φῶς ἱερὸν τῶνδε προπομπὸν
Ἴτε, καὶ σφαγίων τῶνδ' ὑπὸ σιμῶν
Κατὰ γῆς σύμεναι, τὸ μὲν ἀτήριον
Χώρας κατέχων, τὸ δὲ κερδαλέον
Πέμπων πόλεως ἐπὶ νίκῃ.
Ὑμεῖς δ' ἠγεῖσθε, παλισσοῦχοι,
Παῖδες Κραναοῦ, ταῖσδε μετοίκοις.
Εἴη δ' ἀγαθῶν
Ἀγαθὴ διάνοια πολίταις.

ἀντιστροφὴ γ.

Χο. Χαίρετε, χαίρετε δ' αὖθις, ἐπιδιπλοίζω,
Πάντες οἱ κατὰ πτόλιν,
Δαίμονές τε καὶ βροτοὶ,
Παλλάδος πόλιν νέμοντες· μετοικίαν δ' ἐμὴν
Εὖ σέβοντες, οὕτι μέμψισθε συμφορὰς βίου.

ΙΑΜΒΟΙ.

Αθ. Λέγω δὲ μύθους τῶνδε τῶν κατευγμάτων,
Πέμψω τε φέγγη λαμπάδων σελασφόρων
Εἰς τοὺς ὕπερθε καὶ κάτω χθονὸς τόπους,
Ξὺν προσπόλοισιν αἵτε φρουρεῦσι βρέτας

Recte judicantem
Decorabitis omnes viventes.

Strophe 3.

Chor. Salvete in affluentia divitiarum,
Salvete populus urbis,
Prope Jovem ſedentes,
Virginis amicæ amici
Prudentes in tempore.
Palladis ſub alis
Exiſtentes veneratur pater.

ANAPÆSTI.

Min. Salvete & vos: priorem vero oportet me
Proficiſci thalamos monſtraturam.
Ad ignem hunc ſacrum deductorem
Ite, & victimis hiſce venerandis
Sub terra ruentes, quod noxium ſit
Regioni cohibete, quod vero proficuum
Mittite in urbis victoriam.
Vos autem deducite, urbis incolæ,
Filii Cranai, haſce inquilinas.
Sit vero bonorum
Bona mens civibus.

Antiſtrophe 3.

Chor. Salvete, ſalvete iterum, reduplico,
Omnes per civitatem,
Diique & mortales,
Palladis urbis incolæ:
Contubernium meum
Honore proſequentes, nunquam
Queremini de calamitatibus vitæ.

IAMBI

Min. Laudo verba harum precationum,
Mittamque lumina lampadum ſplendentium
In infernos & ſubterraneos locos,
Cum famulis quæ præſidio ſunt ſimulacro

Τοῦμὸν δικαίως. ὅμμα γὰρ πάσης χθονὸς
Θησηίδος ἐξίκοιτ' ἂν εὐκλεὴς λόχος
Παίδων, γυναικῶν, καὶ στόλος πρεσβυτίδων.
Φαιδροβλάπτοις ἐνδυτοῖς ἐσθήμασι
Τιμᾶτε, καὶ τὸ φέγγος ὁρμάσθω πυρὸς,
Ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονὸς
Τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπῃ.

ΑΝΑΠΑΙΣΤΟΙ.

Πρ. Βάτ' ἐκ δόμων, μεγάλαι φιλότιμοι
Νυκτὸς παῖδες, ἄπαιδες,
Ὑπ' εὐθύφρονι πομπᾷ.
Εὐφαμεῖτε δέ· χωρεῖτε
Γᾶς ὑπὸ κεύθεσιν ἀγυγίοισι,
Καὶ τιμαῖς καὶ θυσίαις πε-
ίσεσθαι, τύχα τε.
Εὐφαμεῖτε δὲ παιδαμοί.
Ἵλαοι δὲ καὶ εὐθύφρονες γᾷ
Δεῦρ' ἴτε σεμναὶ, πυριδάπτῳ
Λαμπάδι τερπόμεναι. καθ' ὁδὸν
Δ' ὁλολύξατε ἰῶν ἐπὶ μολπαῖς·
Σποδαὶ δ' ἐς τὸ πᾶν ἐιδαίδες εἶκαν.
Παλλάδος ἀστοῖσι Ζεὺς πανύπτας.
Οὕτω μοῖρα τε συγκατέβα.
Ὀλολύξατε ἰῶν ἐπὶ μολπαῖς.

¶ 1035. Μεγάλαι φιλότιμοι] αἱ σεμναὶ. ¶ 1047. Ἐιδαίδες εἶκαν] μὴ λαμπάδων.

A01 1464896

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google